γὰρ Ὑριέως καὶ ἡ Ὑρία οὕτως ὀφείλει ἔχειν τὴν τοῦ υ φθόγγον. μαρτυρεῖ καὶ Ἡσιόδος λέγων 'ἢ οἵην Ὑρίη Βοιωτίη ἔτρεφε κούρην.' A.

516. τῶν δέ· κατὰ δοτικὴν τοῖς δέ αἱ Ἀριστάρχου. καὶ ἔστιν ὅμοιον τῷ 'τοῖσι δ' ἅμ' ὀγδώκοντα' (568), καὶ τὸ ἐνικὸν 'τῷ δ' ἅμα τεσσαράκοντα' (534). A. cf. 733.

517. Φωκήων· τὰ τοιαῦτα διχῶς ἐν ταῖς Ἀριστάρχου εὑρίσκομεν, καὶ διὰ τοῦ ει Φωκείων, καὶ διὰ τοῦ η Φωκήων. AD.

579. οὕτως ἡ ἑτέρα τῶν Ἀρισταρχείων, καὶ ἔστι χαριεστέρα 'ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκὸν κυδιόων· πᾶσιν δὲ μετέπρεπε ἡρώεσσιν, οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς.' ἡ γὰρ αἰτία τοῦ διαπρέπειν διὰ τοῦ ἑξῆς ἀποδίδοται, οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς. ὁμοίως δὲ καὶ Ζηνόδοτος γράφει. A.

[665. τὸ μὲν Ὁμηρικὸν ἔθος βῆ φεύγειν προφέρεται. ἀλλ' ὅγε Ἀρίσταρχος οὐ μετέθηκεν, ἀλλ' οὕτως γράφει, βῆ φεύγων.]

707. οὕτως αἱ Ἀριστάρχου ἅμα, οὐ διὰ τοῦ ρ ἄρα.

733. οὕτως κατὰ δοτικὴν πτῶσιν τοῖς δὲ Ἀρίσταρχος, ὡς πρόκειται. A., cf. 516.

744. Δημοκρίνης ἀγνοήσας Αἰθιόπεσσιν ἔγραφε κακῶς. A. Vulg. Αἰθίκεσσι.

751. ἔργ' ἐνέμοντο· Ἰακῶς τὸ νέμοντο Ἀρίσταρχος. A.

769. οὕτως φέρτατος, οὐ φέρτερος, αἱ Ἀριστάρχου. A.

798. οὕτως αἱ Ἀριστάρχου ἤδη. καὶ ἐν τοῖς πρὸς Κωμανὸν ὁμοίως προφέρεται, καὶ μήποτε παραπλήσιόν ἐστι τὸ 'ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν' (Γ 184). A.

801. οὕτως προτὶ [τὸ] ἄστυ, οὐ περὶ ἄστυ, ἵνα ὦσιν ἐρχόμενοι πρὸς τὴν πόλιν. ὁμοίως καὶ Ζηνόδοτος καὶ Ἀριστοφάνης γράφουσιν. A.

865. ἄνευ τοῦ ι Γυγαίη τέκε λίμνη ἡ κατὰ Ἀρίσταρχον εἶχε διόρθωσις. οἱ δὲ περὶ Χαῖριν καὶ Διόδωρον καί τινες τῶν καθ' ἡμᾶς προστιθέασι τὸ ι, ἵν' ᾖ· λίμνη

ἔκι Γυγαίῃ τέκε, κακῶς. μηδέποτε γὰρ Ὅμηρος λίμνης τέκνα ἱστορεῖν· βίαιοι δέ εἰσιν. A.

Γ.

18. αὐτὰρ ὁ δοῦρε· Ἀρίσταρχος ἄνευ τοῦ ἄρθρου αὐτὰρ δοῦρε. οὕτως καὶ ἡ Ἀριστοφάνους καὶ ἡ Καλλιστράτου, καὶ σχεδὸν οὕτως καὶ αἱ χαριέσταται. καὶ ὁ Ἰξίων ἐν τῷ α πρὸς τὰς ἐξηγήσεις ὁμοίως προφέρεται. ἔχει δὲ τὸν Ὁμηρικὸν χαρακτῆρα καὶ ἡ σὺν τῷ ἄρθρῳ γραφή, καίπερ οὐκ οὖσα Ἀριστάρχειος. σύνηθες γὰρ τῷ ποιητῇ ἐπὶ τῶν αὐτῶν μένοντι ὑπόνοιαν παρέχειν, ὡς περὶ ἑτέρου διαλέγοιτο, προσθέσει ἄρθρου καὶ μεταλλάξει τοῦ συνδέσμου, ὡς ἐπὶ τοῦ Κύκλωπος 'κὰδ δέ μιν ὕπνος ᾕρει πανδαμάτωρ· ὁ δ' ἐρεύγετο οἰνοβαρείων' (Od. ι 372), ἀντὶ τοῦ καὶ ἐρεύγετο. A. Cf. BL τὸ αὐτὰρ παρὰ Ζηνοδότῳ καὶ τοῖς ἄλλοις οὐκ ἐπάγεται τὸ ἄρθρον κτέ.

51. κατηφείην· οὕτως κατηφείην σὺν τῷ ν ὡμολόγουν αἱ Ἀριστάρχου καὶ ἡ Ἀριστοφάνους καὶ ἡ Σωσιγένους καὶ ἡ Ἀργολική, καὶ σχεδὸν ἐν ταῖς χαριεστάταις οὕτως εἶχεν. ἡ δὲ Ζηνοδότου χωρὶς τοῦ ν κατηφείη. A.

57. ἕσσο διὰ τῶν δύο σ εἶχον αἱ Ἀριστάρχου· καὶ οὐ μόνον ἐν τοῖς ὑπομνήμασιν εἶχον οὕτως, ἀλλὰ καὶ ἐν ἐνίοις λόγος ὑπέκειτο, ὅτι ἀνάλογον ἦν τὸ 'ἕσσω μιν χλαῖνάν τε' (Od. π 79) καὶ 'ἕσσας'. καὶ ἡ Ζηνοδότου δὲ οὕτως εἶχε καὶ ἡ Ἀριστοφάνους. A. Duentzer. Zenod. p. 4, 16.

126. καὶ αἱ Ἀριστάρχου καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους πορφυρέην εἶχον, οὐ μαρμαρέην. καὶ ἔστι πρεπωδέστερον· καὶ γὰρ ἐπὶ τῶν νυμφῶν 'φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα' (Od. ν 108). A.

193. κεφαλῇ· Ἀρίσταρχος κεφαλήν. A. (A βέλτιον δὲ exorditur Nicanoris adnotatio.)

227. κεφαλήν τε· οὕτως σὺν τῷ τέ ἡ Ἀριστάρχου καὶ ἡ Ἀριστοφάνους. καὶ ἔστιν εὐφραδέστερον. A.

259. ἐκέλευσε δ' ἑταίροις· οὕτως τοῖς ἑταίροις κατὰ δοτικὴν αἱ Ἀριστάρχου. συνεφώνει καὶ ἡ Ζηνοδότου. A.

262. προκρίνει μὲν τὴν διὰ τοῦ ε γραφὴν βήσετο, πλὴν οὐ μετατίθησιν, ἀλλὰ διὰ τοῦ α γράφει Ἀρίσταρχος. B.

290. οὕτως διὰ τοῦ η τὸ μαχήσομαι Ἀρίσταρχος. A.

292. οὕτως αἱ Ἀριστάρχου ἀπὸ στομάχους. αἱ δὲ πλείους διὰ τοῦ ε ἐπὶ στομάχους. καὶ ἔστιν οὐκ ἄχαρις ἡ γραφή. A.

295. Ἀρίσταρχος ἀφυσσόμενον διὰ τοῦ ο παρατατικῶς. καὶ ἀναλογεῖ τὸ ἔκχεον. ἄλλοι δὲ διὰ τοῦ α. AV.

326. ἑκάστῳ· Ἀρίσταρχος κατὰ γενικὴν ἑκάστου. A.

348. χαλκός· οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ διὰ τοῦ ν, χαλκόν. οὕτως ἄμεινον διὰ τοῦ σ γράφειν· καὶ γὰρ ὕστερόν φησιν 'ὁ δὲ δεύτερος ὤρνυτο χαλκῷ', ἀντὶ τοῦ τῷ δόρατι. AB.

352. Excidisse videtur de lectione Aristarchea δαμῆναι et aliorum δάμασσον observatio.

362. ἀμφὶ δ' ἄρ' αὐτῷ· Ἀρίσταρχος ἀμφὶ δ' ἄρ' αὐτῇ. τῇ περικεφαλαίᾳ. A. Adde V αἱ χαριέστεραι καὶ πλείονες θηλυκῶς ἔχουσιν.

373. καί νύ κεν εἴρυσσέν τε· ἐν τῇ Ἀριστοφάνους καί νύ κεν ἐξείρυσεν, οὐ μέντοι ἐν τῇ Ἀριστάρχου. AV.

402. καὶ κεῖθι· Ἀρίσταρχος μετὰ τοῦ ι καὶ κεῖθι. A.

406. ἀπόειπε κελεύθους· Ἀρίσταρχος ἀπόεικε διὰ τοῦ κ, ἀντὶ τοῦ ἀπόειπε καὶ χωρὶς τοῦ σ κελεύθου. θαυμάσειε δ' ἄν τις, ἡ ἑτέρα διὰ τοῦ π πόθεν παρέδυ. οὔτε γὰρ ἐν ταῖς Ἀρισταρχείοις, οὔτε ἐν ἑτέρῳ τῶν γοῦν μετρίων ἐμφερόμενον πέφυκεν. καὶ οὐ μόνον ἐν ταῖς ἐκδόσεσιν, ἀλλὰ καὶ ἐν τοῖς συγγράμμασιν ἅπαξ ἅπαντες οὕτως ἐκτίθενται. προσθήσειν μοι δοκῶ καὶ τὴν Ἀριστάρχου λέξιν οὕτως ἔχουσαν 'τῆς δὲ εἰς τὰς θεοὺς ὁδοῦ εἶκε καὶ παραχώρει, μὴ βαδίζουσα εἰς αὐτούς. A.

415. Ἀρίσταρχος Ἰακῶς ἔκπαγλα φίλησα. A.

416. ἔχθεα· ἐν τῇ ἑτέρᾳ τῶν Ἀρισταρχείων ἄχθεα ἐγέγραπτο. τινὲς δὲ ἄλγεα γράφουσιν. A.

434. παύσασθαι· Ἀρίσταρχος παύεσθαι. A.

436. δαμασθῇς· Ἀρίσταρχος δαμείῃς. A.

Δ.

3. ἐῳνοχόει· κατ' ἔνια τῶν ὑπομνημάτων ἐνῳνοχόει φέρεται. οἱ δέ φασι Ζηνοδότειον εἶναι τὴν γραφήν. ἐν μέντοι ταῖς ἐκδόσεσι χωρὶς τοῦ ν εὕραμεν. A.

17. εἰ δ' αὔτως· διὰ τοῦ πῶς αἱ Ἀριστάρχου εἰ δ' αὔ πως. ἐν δὲ τῇ κατ' Ἀριστοφάνη εἰ δ' αὔτως διὰ τοῦ τ. A. [ibid. γένοιτο· οὕτως Ἀριστοφάνης· Ἀρίσταρχος δὲ πέλοιτο. V.]

137. ἔρυμα· ἡ Ζηνοδότου καὶ Ἀριστοφάνους ἔλυμα εἶχον, οἱονεὶ εἴλημα. A.

139. ὀϊστὸς ἐπέγραψε· τὸ ἐπέγραψε χωρὶς τοῦ ν. ἐν δέ τισι χαλκὸς γράφεται. οὐκ ἀρέσκει δὲ Ἀριστάρχῳ. A.

142. ἵππων· διχῶς καὶ ἵππω δυϊκῶς καὶ (ἵππων) πληθυντικῶς. ἐν δὲ τῇ κατὰ Ἀριστοφάνη μόνως δυϊκῶς. A.

148. οὕτως Ἀρίσταρχος ῥίγησεν δ' ἄρ' διὰ τοῦ δ, οὐ διὰ τοῦ τ. A.

170. μοῖραν· [ὅτι] πότμον αἱ Ἀριστάρχου, οὐ μοῖραν, ὡς ἐν ταῖς κοιναῖς. A. Vocabulum ὅτι, quod offendit, uncis inclusi. Fortasse οὕτως rescribendum est.

171. ἐλέγχιστος διχῶς Ἀρίσταρχος, καὶ ἐλέγχιστον. A.

184. μηδέ τί πω· οὕτως πως Ἀρίσταρχος, οὐχὶ που, ὥς τινες. A.

205. οὕτως δὲ Ἀρίσταρχος χωρὶς τοῦ σ ἴδῃ. A. Cf. Friedlaend. Arist. p. 2.

213. εἶλκεν Ἀρίσταρχος Ἰακῶς ἕλκεν καὶ αἱ πλείους. A.

238. ἡμεῖς δ' αὖτ'· Ἀρίσταρχος χωρὶς τοῦ δέ. A.

245. ἄρα τίς σφι· οὕτως Ἀρίσταρχος μετὰ τοῦ σ, τίς σφι. A.

277. Ἀρίσταρχος ἑόντι. A. τὸ δὲ ἰόντι Ἀρίσταρχος διὰ τοῦ ε, Ζηνόδοτος διὰ τοῦ ι. AD. Duentzer. Zenod. p. 4, 16.

299. ἔλασσεν· οὕτως Ἀρίσταρχος ἔλασσεν· ἄλλοι δὲ ἔεργεν. A.

329. οὕτως Ἀρίσταρχος Ἰακῶς ἑστήκει. A.

333. Ἀρίσταρχος χωρὶς τοῦ θ Τρώων ἱπποδάμων. A.

367. οὕτως ἑστήκει Ἰακῶς Ἀρίσταρχος. A.

400. σὺν τῷ ν ἀμείνων Ἀρίσταρχος, ἵνα καθ' ἑαυτὸ λέγηται ἐπιπληκτικῶς. A.

426. ἑόν· Ἀρίσταρχος διὰ τοῦ ι ἰόν. A.

456. φόβος Ἀρίσταρχος πόνος· οὐ γάρ γέγονέ πω φυγή. A.

517. Ἀρίσταρχος μοῖρα πέδησε Ἰακῶς. A.

527. *ἐπεσσύμενον*· Ἀρίσταρχος διὰ τοῦ α *ἀπεσσύμενον*, ἀπιόντα τὸν Πείρωα· ἐν δὲ τῇ ἑτέρᾳ *ἐπεσσύμενος*, ἵνα ἐπὶ τοῦ Θόαντος λέγεται. ἄτοπος δὲ τέλεον ἡ φερομένη *ἐπεσσύμενον*. A.

E.

60. *πάντα*· ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου *πολλά*. A.

64. *ἤδη*· οὕτως Ἀρίσταρχος διὰ τοῦ η ἤδη. A.

132. *τήν γ' οὐτάμεν* — διχῶς Ἀρίσταρχος, καὶ οὕτως *τήν γ' οὐτάμεν*, καὶ χωρὶς τοῦ γέ τὴν οὐτάμεν. A.

136. *ἕλεν μένος*· Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἐν τῷ περὶ τῆς ὁπλοποιΐας διὰ τοῦ χ προφέρεται *ἔχεν μένος*. A.

181. *Τυδείδῃ μιν*· Ἀρίσταρχος διχῶς καὶ *μίν* καὶ *μέν*, Τυδείδῃ μιν ἐγώ. A.

227. *ἵππων ἀποβήσομαι*· Ἀρίσταρχος ἀποβήσομαι ἵππων δὲ ἔφη, οἷον τῆς τῶν ἵππων φροντίδος· ἐπιφέρει γοῦν 'ἠὲ σὺ τόνδε δέδεξο, τὸν Διομήδη. Ζηνοδότειος δὲ ἡ διὰ τοῦ ε ἐπιβήσομαι. A.

231. *εἰωθότι*· οὕτως *εἰωθότι* Ἀρίσταρχος καὶ σχεδὸν ἅπαντες· μᾶλλον γάρ φησιν ὑπὸ τῷ ἐθάδι καὶ συνήθει ἡνιόχῳ οἴσειν τοὺς ἵππους τὸ ἅρμα. καὶ τὴν αἰτίαν ἐπιφέρει 'μὴ τὼ μὲν — ποθέοντες' κτέ. A.

249. οὕτως Ἀρίσταρχος *ἐφ' ἵππων*, ὡς εἰ ἔλεγεν ἐπ' Ἀθηνῶν ἀντὶ τοῦ ἐπ' Ἀθήνας κτλ. A.

263. Cf. Duentz. Zenod. p. 3, 12 et Friedl. Ariston. h. l.

272. *μήστωρε*· οὕτως Ἀρίσταρχος *μήστωρε* δυϊκῶς· ἐπὶ γὰρ τῶν ἵππων. A.

293. οὕτως Ἀρίσταρχος *ἐξελύθη*· ἄλλοι δὲ (Zenodotus teste L.) *ἐξεσύθη*. A. Abhinc lacuna in cod. A.

[403. *ὀβριμοεργός*, Ἀρίσταρχος αἰσυλοεργός. LV.]

[416. ἡ Ἀριστάρχου ἑνικῶς, ἡ Ζηνοδότου *χερσίν*. LV.]

[425. — τὸ δὲ *κατεμύξατό* φησι διὰ τοῦ α. BL.]

[443. Ἀρίσταρχος *τυτθόν*, οὐ *πολλόν* L.]

[461. *Τρωῖας δὲ στίχας*· ἐν τῇ Σινωπικῇ καὶ Κυπρίᾳ καὶ Ἀντιμάχου Τρωΐας εἶχε σὺν τῷ ι, ὡς· ἵππους δὲ Τρωΐους' — LV.]

[466. *ποιητοῖσι* δὲ Ἀρίσταρχος, Ζηνόδοτος δὲ *ποιητῇσι*. LV.]

[377. ἔνειμεν· οὕτως αἱ Ἀριστάρχου BLV.]

De 549 cf. schol. Od. γ 489.

[560. δυϊκῶς τὸ ἐοικότες Ἀρίσταρχος V.]

638. Friedl. p. 112 recte Aristarcho tribuit, dubitat Duentz. Zenod. p. 3, 13.

661. Ἀρίσταρχος μετὰ τοῦ ν βεβλήκειν. A.

695. Πελάγων· Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου διὰ τοῦ σ Σελάγων. A.

700. οὕτως Ἀρίσταρχος ἀμφότερα διὰ τοῦ ε προτρέποντο καὶ ἐπὶ νηῶν· λέγει γὰρο ὅτε προτροπάδην ἔφευγον ἐπὶ τὰς ναῦς. A.

703. Ἀρίσταρχος διὰ τοῦ α ἐξενάριξαν. A.

746. ὁ Σιδώνιος ἄνευ τοῦ ι τὸ δάμνησι, ὁ δὲ Ἀρίσταρχος σὺν τῷ ι. A.

757. καρτερὰ ἔργα· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἔργ' ἀΐδηλα. A.

787. Ἀρίσταρχος δὲ κάκ' ἐλεγχέες· τὸ δὲ ἑξῆς διχῶς, εἶδος ἄριστοι καὶ εἶδος ἀγητοί. A.

797. Ἀρίσταρχος τείρετο, αἱ δὲ κοιναὶ τρίβετο.

[818. σῶν· Ἀρίσταρχος σέων γράφει. LV.]

839. ἄνδρα τ' ἄριστον· διὰ τοῦ δέ αἱ Ἀριστάρχου, ἄνδρα δ' ἄριστον. A.

857. ὁ δὲ Ἀρίσταρχος μίτρῃ κατὰ δοτικήν. ἐν δέ τισι τῶν ὑπομνημάτων ὅθι στελλέσκετο μίτρῃ. A.

[872. καρτερὰ ἔργα· γράφεται ἔργ' ἀίδηλα, ὅ ἐστι φθοροποιά LV., cf. E 757.]

874. οὕτως Ἀρίσταρχος μετὰ τοῦ δέ, χάριν δ' ἄνδρεσσι. A.

881. αἱ Ἀριστάρχου ὑπερφίαλον, οὐχ ὑπέρθυμον, ὥσπερ αἱ δημώδεις. A.

900. φάρμακ' ἔπασσεν· Ἰακῶς φάρμακα πάσσεν. A.

[906. ὡς ἀλλοπρόσαλλος ἤδη λέλησται, ὧν πέπονθε. διὸ τὸ ἔπος Ζηνόδοτος ἀθετεῖ. B. Ἀρίσταρχος ἀθετεῖ LV. Duentzer. Zenod. p. 9, 34.]

Z.

[4. πρότερον ἐγέγραπτο ‘μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης’, ὕστερον δὲ Ἀρίσταρχος ταύτην

τὴν γραφὴν εὑρὼν ἐνέκρινεν. Χάρης δὲ γράφει 'μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ Σιμόεντος.' BLV.]

[10. τινὲς τὸ μετώπω δυϊκῶς· καὶ ἀλλαχοῦ γάρ φησιν 'ἐμῆς κόρυθος λεύσσουσι μέτωπα' (Il. Π 70) BDLV.]

54. ἀντίος· οὕτως Ἀρίσταρχος διὰ τοῦ σ, ἄλλοι δὲ διὰ τοῦ ν. A., cf. B., qui vocabulo ἄλλοι substituit Zenodotum et adicit censuram brevem ὃ καὶ ἄμεινον.

71. Vide supra p. 114.

76. οἰωνοπόλων ὄχ' ἄριστος· Ἀμμώνιος, ὡς Ἀρίσταρχος, προφέρεται καὶ ταύτην τὴν γραφήν, μάντις τ' οἰωνοπόλος τε. ἔργον δὲ τὸ σαφὲς εἰπεῖν· διὸ διχῶς. A. Corr. ὡς Ἀριστάρχειον προφέρεται, coll. Θ 513.

96. αἴ κεν· Ἀρίσταρχος ὥς κεν. A.

113. διχῶς Ἀρίσταρχος, καὶ διὰ τοῦ κέ, ὄφρα κ' ἐγώ, καὶ διὰ τοῦ ἄν. A.

121. Ζηνόδοτος καὶ Ἀριστοφάνης δυϊκῶς ἰόντε. ἐν δὲ τοῖς ἔμπροσθεν εἰρήκαμεν Ἀριστάρχου εἶναι τὴν δυϊκὴν γραφήν. A. (LV.)

128. οὕτως Ἀρίσταρχος, οἷον καταβέβηκας τὸν οὐρανόν. διὸ διὰ τοῦ ν γράφει κατ' οὐρανόν. A.

155. Ἰακῶς τὸ κίκτεν Ἀρίσταρχος. A.

157. Ἀρίσταρχος Ἰακῶς κακὰ μήσατο. A.

159. γάρ μιν· γράφεται γάρ οἱ. A.

170. ἠνώγειν· οὕτως σὺν τῷ ν ἠνώγειν Ἀρίσταρχος· ἠνώγεεν γάρ. A.

171. ὁ Ἰξίων ἐν τῷ πρώτῳ τῷ πρὸς τὰς ἐξηγήσεις προφέρεται μετ' ἀμύμονι. A.

174. Ἀρίσταρχος καὶ ξείνισσε καὶ ξείνιζε. A.

187. ἀνερχομένῳ· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ διὰ τοῦ ε ἐπερχομένῳ. A. (desipit V.)

248. παρ' αἰδοίης ἀλόχοισιν· οὕτως Ἀρίσταρχος παρ' αἰδοίης. ἐν ἄλλῳ παρὰ μνηστῆς. A.

266. ἀνίπτοισιν· οὕτως Ἀρίσταρχος, ὁ δὲ Ἡρῳδιανὸς (?) διὰ τοῦ η ἀνίπτῃσιν. A. E sequente scholio apparet pro Herodiano restituendum esse Zenodotum: quae nomina quomodo confundi potuerint e compendiosa scriptura explicatur. δέ enim et ζ facile permutantur. Itaque fit,

ut simillima evadant ζηνδ et ζηρῶ. Idem accidit Θ 378, ubi in BL est Ἡρῳδιανός in V Ζηνόδοτος.

330. εἴ τινα· Ἀρίσταρχος ὅν τινα. A.

354. οὕτω νῦν αἱ Ἀριστάρχου. A.

415. ναιετάωσαν· Ἀρίσταρχος διὰ τοῦ ο ναιετόωσαν. A.

432. οὕτως Ἀρίσταρχος διὰ τοῦ η, θήης. A.

434. οὕτως Ἀρίσταρχος ἄμβατος, Καλλίστρατος διὰ τοῦ η ἀμβάτη. A.

437. Ἀτρείδας· ὁ Ἰξίων ἐν τῷ πρὸς τοὺς ἠθετημένους Ἀτρείδα προφέρεται δυϊκῶς. A.

475. Ἀρίσταρχος διὰ τοῦ δ, εἶπε δ' ἐπευξάμενος. A.

[479. Ἀρίσταρχος δὲ πατρός γ' ὅδε γράφει. V.]

Η.

5. ἐπεί κε· οὕτως Ἀρίσταρχος· ὁ Σιδώνιος δὲ ἐπήν κε, ὡς 'οὔτ' ἄν κεν Ἄρης'. AV.

6. ἐλαύνοντες· κατ' ἔνια τῶν ὑπομνημάτων ἐρέσσοντες. A., cf. v. 95.

7. τώ· Ἀμμώνιος ἐν τῷ πρὸς Ἀθηνοκλέα τοί προφέρεται πληθυντικῶς. A.

8. φανήτην· οὕτως Ἀρίσταρχος δυϊκῶς. A.

12. λῦσε δέ· Ἀρίσταρχος λύντο δέ. A.

32. ὑμῖν ἀθανάτῃσι· Ζηνόδοτος ἀθανάτοισιν. ἐν μέντοι τῇ Ἀριστοφάνους ὑμῖν ἀμφοτέρῃσιν εἶχε, τῇ Ἀθηνᾷ καὶ τῇ Ἥρᾳ· οὐκ ἀπιθάνως. A.

41. ἀγασσάμενοι· Ἀρίσταρχος διὰ τοῦ ο ἀγασσόμενοι. A. Abhinc quae leguntur verba Aristonici sunt.

64. Ἀρίσταρχος πόντον, διὰ τοῦ ν, καὶ ὑπ' αὐτῇ, τῇ φρικί. ἄλλοι δὲ πόντος ὑπ' αὐτοῦ. A.

73. ὑμῖν μὲν γὰρ ἔασιν· αἱ Ἀριστάρχου οὕτως ὑμῖν δ' ἐν γὰρ ἔασιν. καὶ ἔστι τὸ ἑξῆς· ὑμῖν δ' ἔνεισι γάρ, ἤ· ἐν ὑμῖν δέ εἰσι γὰρ ἀριστῆες. A.

95. ἔν τισι τῶν ὑπομνημάτων νείκε' ὀνειδίζων ἔξω τοῦ ι, ὥστε κατὰ συναλοιφὴν νοεῖσθαι τὸ ὑγιὲς νείκεε. A.

110. ἀνὰ δὲ σχέο· Ἀρίσταρχος ἀνὰ δ' ἄνσχεο, ἀνάσχου δέ. A. (Ἀρίσταρχος καὶ Ἡρῳδιανὸς. ἀνὰ δ' ἴσχεο. V.)

127. Friedl. Aristonic. p. 129.

130. *φίλας ἀνὰ χεῖρας· ἐν ταῖς ἐξητασμέναις Ἀριστάρχου βαρείας χεῖρας, τὰς βεβαρημένας ὑπὸ γήρως νῦν καὶ δυσκινήτους. ἀλλαχοῦ δὲ τὰς ἐῤῥωμένας ‘βαρείας χεῖρας ἐποίσειν’.* (Il. *Λ* 89) A.

145. *ὑποφθάς· — Ἀρίσταρχος δέ φησι καὶ ἀναστάς, οἷον ἐκ λόχου ἀναστάς.* A.

146. *τεύχεα δ' ἐξενάριξε· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ διὰ τοῦ τέ, τεύχεα τ' ἐξενάριξε.* A.

171. *πεπάλασθε· οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανὸς διὰ τοῦ σ πεπάλασθε, οὐ διὰ τοῦ χ.* A., cf. Z 266.

186. *διχῶς, ἀλλ' ὅτε δή ῥ' ἵκοντο καὶ ἀλλ' ὅτε δὴ τὸν ἵκανε.* A. Cf. B. 517. *Δ* 142. 171 *E* 132. 181. 787 Z 76. 113 *Θ* 311 I 7.

192. *Ἀρίσταρχος δύνω, ἄλλοι δὲ δύω.* A.

197. *Ἀρίσταρχος διὰ τοῦ λ ἑλών.* A.

198. *διὰ τοῦ ι εἶχον αἱ Ἀριστάρχου. ἡ δὲ Ἀριστοφάνους οὐδὲ μὲν ἰδρείῃ. ἠθέτηντο δὲ καὶ παρὰ Ἀριστοφάνει καὶ Ζηνοδότῳ.* A.

213. *οὕτως Ἀρίσταρχος βιβάς.* A.

214. *Ἀργεῖοι μέγ' ἐγήθεον· Ἀρίσταρχος Ἀργεῖοι μὲν ἐγήθεον.* A.

238. *βῶν· οὕτως αἱ Ἀριστάρχου βῶν σὺν τῷ ν. ἡ Ἀριστοφάνους βοῦν. τινὲς δὲ ἔξω τοῦ ν βῶ, καὶ μήποτε πιθανῶς, ἀντὶ τοῦ βόα.* A.

241. *δηΐῳ μέλπεσθαι Ἄρηϊ· Ἀρίσταρχος σὺν τῷ ν δηΐων πληθυντικῶς.* A.

272. *Ἀρίσταρχος· ἀσπίδ' ἐνιχριμφθείς.* A.

[*αἶψ'· οὕτως Ἀρίσταρχος οὐκ ἄψ. χρεία γὰρ τάχους πρὸς τὴν σωτηρίαν.* V.]

304. *ἐΰτμήτῳ· Ἀρίσταρχος διὰ τοῦ κ ἐϋκμήτῳ.* A.

336. *Ἀρίσταρχος· τύμβον τ' ἀμφί, διὰ τοῦ τ.* A.

353. *Ἀρίσταρχος ἐκτελέεσθ' ἵνα ἂν μή.* A.

359. *εἰ δ' ἐτεόν· οὕτως Ἀρίσταρχος εἰ δ' ἐτεόν, ἄλλοι δίχα τοῦ δ, εἰ ἐτέον.* A.

409. *Ἀρίσταρχος τεθνηώτων, ἄλλοι δὲ τεθνειώτων.* A.

428. *πυρκαϊῆς· οὕτως αἱ Ἀριστάρχου κατὰ γενικήν·*

αἱ δὲ Ζηνοδότου πυρκαϊῇ, καὶ ἔστι χαριέστερον, ὡς τὸ 'ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν' (Ψ 165). A.

436. ἐκ πεδίου· ἐν τῇ κατὰ Ἀριστοφάνη οὕτως ἐγέγραπτο ἐν πεδίῳ· καὶ μήποτε ἄμεινον τοῦτο. A.

443. τὴν τῶν θεῶν ἀγορὰν ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ αὐτὸς Ἀρίσταρχος. A., cf. Duentzer. Zenod. p. 5.

451. Ἀρίσταρχος ὅσην, ἄλλοι δὲ (h. e. Zenodotus teste BL.) ὅσον. A.

452. τοῦ δ' ἐπιλήσονται τό τ' ἐγώ· χωρὶς τοῦ τε ἐν τοῖς Ἀριστάρχου τὸ ἐγώ. κατ' ἔνια δὲ τῶν ὑπομνημάτων τὸ δ' ἐγώ. A.

475. Ἀρίσταρχος διὰ τοῦ ο ἀνδραπόδοισι. A.

481. πρὶν πιέειν πρὶν λείψω· Ἀρίσταρχος πιέμεναι πρὶν λείψω. A.

Θ.

7. Ἀρίσταρχος θεῶν. A.

10. ἀπάνευθε· ἐν τῇ Ἀριστοφάνους ἀπάτερθε, Ζηνόδοτος μετόπισθε. A.

23. πρόφρων ἐθέλοιμι· Ἀρίσταρχος διὰ τοῦ ω ἐθέλωμι. Πτολεμαῖος δὲ ὁ τοῦ Ὀροάνδου ἀντὶ τοῦ πρόφρων πρόσω γράφει. A.

35. ὡς σὺ κελεύεις· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ εἰ σὺ κελεύεις. A.

55. Ἀρίσταρχος διὰ τοῦ ο ὁπλίζοντο. A.

81. ἔν τισι τῶν ὑπομνημάτων ἐδάμνατο. A.

103. ὀπάζει· οὕτως Ἀρίσταρχος ὀπάζει. ὁ δὲ Ἰξίων ἐπείγει. ἐν ἄλλῳ ἱκάνει. A.

109. Ἀρίσταρχος· κομείτων (ην superscr.). A., coll. 113 V. τὸ δὲ κομείτην Ἀρίσταρχος μὲν κομείτων, Ζηνόδοτος δὲ κομείτην.

137. Ἀρίσταρχος φύγον, ἄλλοι δὲ φύγεν. ἐν ἄλλῳ δὲ τὸ φοινικόεντα. A.

157. οὕτως διὰ τοῦ α τράπε αἱ Ἀριστάρχου. A.

163. Ἀρίσταρχος ἀντιτέτυξο. A.

164. ἄλλως· τούτους καὶ Ἀριστοφάνης ἠθέτησεν. A. Fort. ἠθέτει.

191. *ὄφρα λάβωμεν·* οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ *αἴκε λάβωμεν*. A.

213. διχῶς αἱ Ἀριστάρχου *ἔεργεν* καὶ *ἔρυκεν*. καὶ τὸ δι' ἀμφοτέρων σημαινόμενόν ἐστι τοιοῦτο· τῶν Ἀχαιῶν ὅσον ἀπὸ τοῦ τείχους ἡ τάφρος ὥριζεν, ἐπλήθυεν ὁμοίως ἵππων καὶ ἀνδρῶν συνελαυνομένων καὶ συνειργομένων ὑπὸ τοῦ Ἕκτορος. A. Quae sequuntur fortasse Aristonici sunt propter praesens tempus γράφει, Ζηνόδοτος δὲ γράφει *τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργεν*, quamquam inter Aristonicea non admisit Friedlaenderus.

235. ἧττον ἂν φησιν Ἀρίσταρχος ὀνειδιστικὸν εἶναι, εἴπερ οὕτως ἐγέγραπτο '*Ἕκτορος, ᾧ δὴ κῦδος Ὀλύμπιος αὐτὸς ὀπάζει*.' ἠθέτητο δὲ καὶ παρὰ Ἀριστοφάνει. AV.

246. *ἀπολέσθαι·* Ἀρίσταρχος *ἀπολεῖσθαι*. A.

270. *βεβλήκει·* Ἀρίσταρχος *βεβλήκοι*. A.

290. οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη *ἵππω*. A.

296. οὕτως αἱ Ἀριστάρχου διὰ τοῦ γ *δεδεγμένος*. A.

304. *Αἰσύμηθεν·* Ἀρίσταρχος *Αἰσύμηθεν*, καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους.

311. διχῶς τοῦ μὲν *ἅμαρτε* καὶ τόθ' *ἅμαρτε*. A. Cf. *H* 186.

[325. οὕτως χωρὶς τοῦ ι *ἀποέργει*. V.]

337. *Ἕκτωρ δ' ἐν πρώτοισι·* αἱ Ἀριστάρχου χωρὶς τοῦ ν *Ἕκτωρ δὲ πρώτοισι*, καὶ ἔστιν, ὁ δὲ Ἕκτωρ ἐπὶ τοὺς πρώτους ὥρμα. A.

349. (ὁ Ζηνόδοτος γράφει· *Γόργονος ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος*. ὁ δὲ Ὅμηρος χωρὶς τοῦ ν λέγει 'τῇ δ' ἐπὶ μὲν Γοργώ' (Il. *Λ* 36), ὡς Σαπφώ, διὸ λέγει Γοργοῦς ὡς Σαπφοῦς.) Hucusque Aristonicus, qui fortasse cum Didymo coaluit. Abhinc Didymus Ἀρίσταρχος δὲ γράφει σὺν τῷ ι *οἶματ' ἔχων*. καί φασι παρὰ τὴν οἶμον γεγενῆσθαι, τὰς ὁδοὺς καὶ τὰ ὁρμήματα. αἱ μέντοι πλείους τῶν δημωδῶν εἶχον *Γοργοῦς ὄμματ' ἔχων*, οἷς συλλαμβάνει καὶ τὸ ἀλλαχοῦ λεγόμενον 'τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις'· χαλεπὸν οὖν τὸ σαφὲς εἰπεῖν. A. Duentzer. Zenod. p. 4 erroris manifestus est, a Didymo totum scholium esse profectum statuens.

371. 372. Aristonicus ἀθετοῦνται δύο στίχοι — προσ-

ἱστοροῦμεν. Didymus *οὐδὲ παρὰ Ζηνοδότῳ ἦσαν.* L. Friedlaenderus et hoc loco et 385. 528. 557 Aristonico suo totum scholion vindicat, minus caute, ut *I* 23. 24. 25 declarat. Nec non *I* 416. 668 *K* 497 *N* 808 nobiscum facit. Atque versus suspectos a Didymo non sine verbo dimissos esse testes sunt inprimis schol. *O* 33 *Π* 668 *T* 327 *Ω* 269.

[378. *Ἀρίσταρχος προφανέντε, ὡς 'πληγέντε κεραυνῷ'* (455) *δυϊκῶς· ὁ δὲ Ζηνόδοτος γηθήσει προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων, συστέλλων τὴν τελευταίαν, παροξυτόνως προφερόμενος μετ' ἐκτάσεως τοῦ α. ἔστι δὲ ἄκρατον Δώριον, ὡς τὸ 'λαγέτας υἱούς.'* (Pindar. Ol. I 89) V.] *σπάνιον δὲ τοιοῦτο παρὰ τῷ ποιητῇ.* A.

385. Aristonicus *ἀθετοῦνται — παντευχίαν.* Didymus *ἠθέτει δὲ καὶ Ἀριστοφάνης. Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν.* A.

389. *Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἐν τῷ περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος διὰ τοῦ υ προφέρεται λάζυτο. καὶ ἔστιν οὐκ ἀδόκιμος ἡ γραφή.* AV.

405. *ἕλκε' ἀπαλθήσεσθον· ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου ἕλκε' ἀπαλθήσονται. καὶ μήποτε κρεῖττον· τὰ ἕλκη ἀπαλθήσονται.* A.

408. *Ἀρίσταρχος· ὅττι κεν εἴπω.* A.

415 — *αἱ δὲ Ἀριστάρχου διὰ τοῦ η, ᾗ τελέει περ· καὶ γὰρ ὁ Ζεύς φησι· τὸ δὲ καὶ τετελεσμένον ἔσται.* A[BL.]

423. *ἀδεὲς δι' ἑνὸς δ ὁ Ἀρίσταρχος.* A.

428. *ἄλλως·* [*ὅτι*] *οὕτως νῶϊ χωρὶς τοῦ ν.* A. Delendum esse *ὅτι* apparet inde, quod et *οὕτως* sequitur, quo vocabulo ad Didymum trahimur, et diplen positam fuisse affirmat Aristonicus in praecedente scholii parte, quod nonnulli scripturam *νῶϊν* amplecterentur.

441. *οὕτως Ἀρίσταρχος βωμοῖσι.* A.

449. *τοῖσιν κότον· Ἀρίσταρχος τοῖον κότον, καὶ ἔχει τινὰ ἔμφασιν.* A.

513. *τούτων· Παρμενίσκος ἐν τῷ α' πρὸς Κράτητα ὡς Ἀριστάρχειον γραφὴν προφέρεται κείνων.* A.

αἱ Ἀριστοφάνους πέσσοι. A.

(526. οὕτως ἡ γραφή· εὔχομαι ἐλπόμενος, οὐ τὸ ἐναντίον. A.)

528. Aristonicus ἀθετεῖται — εἴρηκεν. Didymus ὁ δὲ Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν. A.

(538. οὕτως διὰ τοῦ ει τὸ εἰ γὰρ ἐγὼν ὥς, καὶ τὸ ἀγήρως διὰ τοῦ ω. A.)

557. Aristonicus: ἀθετεῖται — εὐδίαν. Didymus οὐκ ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης. A.

I.

4. ἄνεμοι· ἡ Ἀριστοφάνειος ἀνέμω δυϊκῶς. A.

7. ἔχευεν· διχῶς, καὶ διὰ τοῦ α, ἔχευαν. A.

18. μέγα Ἀρίσταρχος σὺν τῷ σ μέγας ABL.

23. 24. 25. παρὰ Ζηνοδότῳ οὐκ ἐφέροντο οἱ τρεῖς· καὶ Ἀριστοφάνης δὲ ἠθέτει. ALV. Haec Didymus. Aristonici sunt quae sequuntur inde ab ἀθετοῦνται — ἐλαττώμασιν et ἡ διπλῆ — Διομήδης. Hoc loco et Λ 78—83 meo iure supra usus sum, ut schol. ad Θ 371. 2. 385. 528. 557, alia in duas partes distribuerem.

33. Ἀρίσταρχος διὰ τοῦ η μαχήσομαι· A.

36. οὕτως Ἀρίσταρχος ἠμὲν νέοι ἠδὲ γέροντες. γράφεσθαι δέ φησι καὶ ἡγήτορες ἠδὲ μέδοντες. A.

57. ἦ μήν· διὰ τοῦ ε αἱ Ἀριστάρχου ἦ μέν. A.

66. Ἀρίσταρχος διὰ τοῦ α φυλακτῆρας τοὺς φύλακας. A.

73. αἱ Ἀριστάρχου οὕτως εἶχον διὰ τοῦ γάρ, πολέσιν γὰρ ἀνάσσεις· ἔχει δέ τι Ὁμηρικὸν καὶ ἡ διὰ τοῦ δέ, πολέεσσι δ' ἀνάσσεις. A.

78. διαῤῥαίσει δι' ἑνὸς ρ αἱ Ἀριστάρχου. D.

86. ἅμ' ἔστειχον· Ἀρίσταρχος ἅμα στεῖχον Ἰωνικῶς. A. Leg. Ἰακῶς.

88. δόρπον· Ἀρίσταρχος μετὰ τοῦ α δόρπα. A. ἄλλως· διὰ τοῦ α δόρπα αἱ Ἀριστάρχου. ἄκαιρος δὲ Ζηνόδοτος γράφων τίθεντο δὲ δαῖτα θάλειαν· ἄτοπον γὰρ θαλιάζειν τοὺς πένθει ἀτλήτῳ τὴν ψυχὴν βεβλημένους. A.

89. ἀολλέας· Ἀρίσταρχος ἀριστέας. A.

109. ἀπεμυθεόμην οὕτως Ἀρίσταρχος. A.

112. *κεκίθοιμεν*· *Ἀρίσταρχος* *πεπίθωμεν*· *ἔστι γὰρ κίθωμεν*. A.

128. *ἀμύμονα* Aristonicus. *Ἀρίσταρχος δὲ μετὰ τοῦ σ ἀμύμονας*. A. Cf. hoc de loco sane quam memorabili Lehrsium apud L. Friedlaender Ariston. p. 156.

[*ἀμύμονα*· *οὕτως Ἀρίσταρχος. Ζηνόδοτος δὲ ἀμύμονας*. V.]

132. *Ἀρίσταρχος*· *κούρη Βρισῆος, ἐπὶ δὲ μέγαν*. A.

155. *Ἀρίσταρχος τιμήσονται*. A.

158. *δμηθήτω*· *παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει καμφθήτω*. A.

167. *Ἀρίσταρχος ἐγώ, ἄλλοι δὲ ἐγών*. A.

197. *Παρμενίσκος δὲ προφέρεται ἱκάνετον ἡμέτερόνδε*. A. Post *δέ* exciderunt fortasse verba *ὡς Ἀρισταρχειον γραφήν*. Cf. Θ 513 (*I* 140).

203. *κέραιε*· *δίχα τοῦ ρ Ἀριστοφάνης*. A. *χωρὶς τοῦ ρ μέμνηται καὶ Ἡρῳδιανός*. L.

212. *ἔν τισι γράφεται αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ. γελοῖον δὲ πυρὸς ἄνθος, ὡς ῥόδων ἄνθος, τοῦ ποιητοῦ τὸ πῦρ δεινοποιήσαντος*. A. *ἄλλως*· *ἔνιοι γράφουσιν αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο, δὲ φλόξ. ὁ δὲ Ἀρίσταρχος ταύτην προέκρινεν. ἔνιοι δὲ γράφουσιν αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο, παύσατο δὲ φλόξ*. LV. cf. 401.

214. *ἐπαείρας*· *Ἀρίσταρχος ἀπαείρας, ἀπὸ τῶν κρατευτάων ἄρας*. AD. Dubito num potius in *λέξεσι* Aristarchi scriptum fuerit.

222. *ἐδητύος ἐξ ἔρον ἕντο*· *φαίνονται καὶ παρ' Ἀγαμέμνονι, πρὶν ἐπὶ τὴν πρεσβείαν στείλασθαι δειπνοῦντες*· *φησὶ γοῦν* ‘*αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός, ὡρμῶντ' ἐκ κλισίης*’. (177) *ἄμεινον οὖν εἶχεν ἄν, φησὶν ὁ Ἀρίσταρχος, εἰ ἐγέγραπτο* ‘*ἄψ ἐπάσαντο*’, *ἵν' ὅσον χαρίσασθαι τῷ Ἀχιλλεῖ γεύσασθαι μόνον καὶ μὴ εἰς κόρον ἐσθίειν καὶ πίνειν λέγωνται, ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐδὲν μετέθηκεν, ἐν πολλαῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν*. A.

225. *οὐκ ἐπιδεύεις*· *Ἀρίσταρχος δὲ χωρὶς τοῦ σ*. A.

Quamquam et reliqua scholii pars Friedlaendero p. 160 recte videtur ex Aristonico et Didymo coaluisse.

270. οὕτως Ἀρίσταρχος μετὰ τοῦ σ ἀμύμονας. A.

274. Ἀρίσταρχος· κούρη (cod. κούρης) Βρισηΐς, ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται. A.

297. — οὕτως γὰρ Ἀρίσταρχος τιμήσωνται, ὡς ἐλεύσωνται. A.

299. διὰ τοῦ ἑτέρου λ τὸ μεταλλήξαντι αἱ Ἀριστάρχου. A., cf. 210.

310. κρανέω· Ἀρίσταρχος φρονέω. A.

317. μετ' ἀνδράσιν· Ἀρίσταρχος ἐπ' ἀνδράσι. A.

322. οὕτως Ἀίσταρχος πολεμίζειν κατὰ τὸ ἀπαρέμφατον. A.

324. διὰ τοῦ ἄρα γράφουσιν αἱ Ἀριστάρχου, κακῶς δ' ἄρα οἱ. αἱ δὲ εἰκαιότεραι κακῶς δέ τέ οἱ. A.

349. 350. ἐν τῷ περὶ Ἰλιάδος καὶ Ὀδυσσείας ὁ Ἀρίσταρχος προφέρεται καὶ ἤλασεν ἐκτόθι τάφρον, καὶ ἐν τῷ ἑξῆς περὶ δὲ σκόλοπας κατέπηξεν. εἰσὶ δὲ οὐκ ἄτοποι αἱ γραφαί. A., cf. L.

383. Ἀρίσταρχος ἑκάστας, ἄλλοι δὲ ἑκάστην. A.

394. Ἀρίσταρχος γυναῖκά γε μάσσεται. A.

397. ἐθέλοιμι· Ἀρίσταρχος ἐθέλωμι. A.

399. γήμαντι· οὕτως Ἀρίσταρχος κατὰ δοτικήν, ἄλλοι δὲ γήμαντα. A.

401. οὐ γὰρ ἐμοὶ ψυχῆς· ἐνίους φησὶν ὁ Ἀρίσταρχος γράφειν οὐ γὰρ ἐμῆς ψυχῆς· ἀλαζονικὸς δὲ ὁ λόγος, οὐδὲν τῆς ἐμῆς ψυχῆς ἄξιον. ἄμεινον ἐμοί γράφειν. A. Vid. Friedlaend. Ariston. p. 163.

416. ἄλλως· οὐδὲ παρὰ Ζηνοδότῳ ἐφέρετο. A.

446. ἡβώοντα οὕτως διὰ τοῦ ω καὶ ο αἱ Ἀριστάρχου. A. Deinde Aristonicus.

455. οὕτως διὰ τοῦ ε ἐφέσσεσθαι. A.

464. Διονύσιος ὁ Θρᾷξ ἐν τῷ πρὸς Κράτητα διὰ τῆς ἱπποδρομίας φησὶ γεγραμμένον ἀντιόωντες μεταθεῖναι τὸν Ἀρίσταρχον ἀμφὶς ἐόντες. A.

472. ὑπ' αἰθούσῃ· διὰ τῆς ἐν προθέσεως ἐν αἰθούσῃ αἱ Ἀριστάρχου· συνᾴδει καὶ τὸ ἑξῆς 'ἄλλο δ' ἐνὶ προδόμῳ'. A.

488. *γούνεσσι·* οὕτως διὰ τοῦ ε, *γούνεσσι·* ἔχει μέντοι λόγον καὶ ἡ διὰ τοῦ α *γούνασσι.* A.

492. Ἀρίσταρχος *πολλὰ πάθον καὶ πολλὰ μόγησα.* A.

509. *εὐξαμένοιο·* Ἀρίσταρχος *εὐχομένοιο.* A.

540. *ἔρδεσκεν·* Ἀμμώνιος ἐν τῷ περὶ τῶν ὑπὸ Πλάτωνος μετενηνεγμένων ἐξ Ὁμήρου διὰ τοῦ ζ προφέρεται *ἔρεζεν.* AL.

551. *οὐδ' ἐδύναντο·* ἐν τῇ Ἀριστοφάνους *οὐδ' ἐθέλεσκον.* καὶ ἔστιν Ὁμηρικόν· 'οὐδ' ἔθελε προρέειν (Il. *Φ* 366). AL.

564. Ἀρίσταρχος *ὅ μιν*, ὅτι αὐτήν. A. *ὅτε*, οὕτω Ζηνόδοτος, χρονικῶς. AL. Lego *ὅτε* Ζηνόδοτος χρονικῶς, Ἀρίσταρχος δὲ *ὅ μιν*, ὅτι αὐτήν. Duentzer. p. 4.

574. *τὸν δὲ λίσσοντο·* οὕτως Ἀρίσταρχος δὲ *λίσσοντο* δι' ἑνὸς λ. A.

580. διὰ τοῦ ς *ψιλῆς γῆς.* οὕτως αἱ Ἀριστάρχου. (δῆλον δὲ ὅτι ἐλλείπει ἡ *εἰς*, ἵν' ᾖ εἰς ἄροσιν. [?]) A.

584. *κασίγνηται·* κατὰ τὸ θηλυκόν *κασίγνηται* αἱ Ἀριστάρχου. ἔχει δὲ λόγον καὶ ἡ διὰ τοῦ ο· κατὰ γὰρ Ὅμηρον πλείους εἰσὶν ἀδελφοὶ τῷ Μελεάγρῳ· 'οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν, οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔη, θάνε δὲ ξανθὸς Μελέαγρος' (Il. *B* 641). καὶ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ τὰς ἀδελφὰς ἀκουστέον Γόργην καὶ Δηϊάνειραν. A. [BL.]

602. Ἀρίσταρχος *ἐπὶ δώρων*, ὅ ἐστι μετὰ δώρων. A.

612. Ἀρίσταρχος δὲ *μή μοι σύγχει θυμὸν ἐνὶ στήθεσσιν.* A.

632. Ἀρίσταρχος διὰ τοῦ γέ· *καὶ μέν τίς γε κασιγνήτοιο*, ὅ ἐστι κασιγνητικοῦ. A.

634. διὰ τοῦ η αἱ Ἀριστάρχου *τεθνηῶτος.* A.

639. οὕτως *ἐπὶ τῇσι* ἐν ἁπάσαις, ἐπὶ ταῖς Λεσβίσι. A.

654. οὕτως *σμύξαι.* Ἀρίσταρχος οἶδε καὶ τὴν *φλέξαι* γραφήν. A.

657. *σπείσαντες·* ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου *λείψαντες*, καὶ ἐν πολλαῖς τῶν ἀρχαίων. AL.

681. ἐν τῇ ἑτέρᾳ τῶν Ἀ. διὰ τοῦ α *σαῷς*, τάχα παρὰ τὸ σαωσέμεν (230) καὶ ἠὲ *σαωθῆναι* (Il. *O* 503)· χρῆται

δὲ καὶ ἐκείνῳ· 'σόον δ' ἀνένευσεν' (Il. Π 252)· διχῶς οὖν. A.

(ἄλλως· Ἀρίσταρχος σοῷς καὶ σαῷς. A.)

688. τούτους δὲ τοὺς στίχους Ἀριστοφάνης ἠθέτει. Ζηνόδοτος τὸν αὔριον μόνον. AL. Duentzer. Zenod. p. 5.

694. μῦθον ἀγασσάμενοι· γράφεται καὶ φρασσάμενοι. Ζηνόδοτος δὲ τὸν στίχον οὐκ ἔγραφεν. Ἀριστοφάνης δὲ ἠθέτει. A. Alter scholiasta in A pro Aristophane habet Aristarchum. Cf. Duentzer. Zenod. p. 5.

698. διὰ τοῦ δ οὕτως Ἀρίσταρχος μὴ δ' ὄφελες. A.

700. ἔν τισι τῶν ὑπομνημάτων διὰ τοῦ α ἀνῆκας· καὶ ἔστιν Ὁμηρική πως ἡ γραφή 'ἄφρονα τοῦτον ἀνῆκας.' AL.

K.

?1. παραιτητέον δὲ τοὺς γράφοντας, ὧν ἐστι καὶ Ζηνόδοτος, ὤ λλοι μέν, ἢ καὶ τοὺς ὁπωσοῦν βουλομένους δασύνειν. ἔστι γὰρ ὁ ποιητὴς παραλειπτικὸς τῶν ἄρθρων. AB. Aristonico Friedlaenderus tribuit recte, Duentzerus Didymo.

32. οὕτως Ἀρίσταρχος διὰ τοῦ ν ἀνστήσων. A.

38. ὀτρύνεις — διῃρημένως αἱ Ἀρίσταρχος τὸ ὀτρυνέεις. A.

41. ἔσται· γράφεται ἐστίν, καὶ ἐν ἄλλῳ εἴη. A.

46. θῆχ' ἱεροῖσιν· ἔν τισι τῶν ὑπομνημάτων εἶχ' ἱεροῖσιν, ὁ Ἰξίων ἐστί γράφει. A.

48. τὸ δὲ ἐπ' ἤματι Ἀρίσταρχος διὰ τοῦ ν, ἐν ἤματι, ὁμοίως τῷ 'μηνὶ δ' ἐν οὔλῳ' (B 24, 118).

51. 52. ἀθετοῦνται — δολιχόν. Aristonicus. καὶ Ἀριστοφάνης προηθέτει. Didymus. Cf. Θ 371. 2 Friedlaenderus p. 172 Aristonico tribuit.

54. ἐπὶ νῆας· Ἀρίσταρχος παρὰ νῆας. A.

79. ἐπέτραπε· Ἀρίσταρχος ἐπέτρεπε. A.

[115. εἴπερ· οὕτως αἱ Ἀριστάρχειοι. τινὲς δὲ εἰ καί. V.]

124. ὁ Ἰξίων μέγ' ἐπέγρετο· καὶ μήποτε ἡ Ἀριστάρχειος οὕτως εἶχεν. A.

127. ἠγερέεσθαι· διὰ τοῦ θ αἱ Ἀριστάρχου ἠγερέθεσθαι. A.

129. ἔξω τοῦ τ οὔ τίς οἱ. A.

130. χωρὶς τοῦ σ ἐποτρύνει καὶ ἀνώγει. A.

146. ἀλλ' ἔπεν· Ἀρίσταρχος χωρὶς τοῦ υ, ἀλλ' ἔπε'. A.

153. ἐν τῇ Ἀριστοφάνους· σαυρωτῆρας πληθυντικῶς. A.

159. διχῶς ὁ Ἀρίσταρχος ἔγρεο καὶ ὄρσεο. A.

161. ὀλίγος δ' ἔτι· διὰ τοῦ ε, ὀλίγος δέ τε αἱ Ἀριστάρχειοι. γρ. δὲ καὶ ὀλίγος δ' ἀπὸ χῶρος ἐέργει. A.

169. φίλος· Ἀριστοφάνης τέκος. A.

176. ἄνστησον· οὕτως διὰ τοῦ η ἄνστησον αἱ Ἀριστάρχου. A.

225. εἴπερ τε· [ἡ διπλῆ,' ὅτι] Ἀρίσταρχος εἴπερ τι, καὶ οἱ ἀπὸ τῆς σχολῆς. A. Inclusa uncinis aliena sunt. Cf. *K* 445 (Ariston. *Λ* 72) Lehrs. Arist. p. 17 not. *.

240. (ἀθετεῖται — ἡ δὲ διπλῆ)· οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἦν. A. Novissima verba cur Didymo vindicarem dixi ad Θ 371.

253. (ἀθετεῖται —)· Ζηνόδοτος δὲ (leg. cum Bekk. Friedl. οὐδὲ) ἔγραφεν· Ἀριστοφάνης ἠθέτει. A.

258. ἄλλοφον· Ἀρίσταρχος ἄλοφον. A.

291. οὕτω χωρὶς τοῦ σ παρίσταο αἱ Ἀριστάρχου. Ζηνόδοτος παρίσταο καὶ πόρε κῦδος. χωρὶς δὲ τοῦ σ καὶ αἱ πλείους εἶχον. A.

306. οὕτως Ἀρίσταρχος οἵ κεν ἄριστοι ἔωσι· ὁ δὲ Ζηνόδοτος αὐτοὺς οἳ φορέουσιν ἀμύμονα Πηλείωνα. Ἀριστοφάνης καλοὺς οἳ φορέουσιν. A.

321. ἀνάσχεο· διὰ τοῦ ο αἱ Ἀριστάρχου. A.

332. οὕτως καὶ διὰ τοῦ ε τὸ ἐπώμοσεν αἱ Ἀριστάρχου. A.

336. Cf. vers. 347.

341. οὗτός τοι· Ἀρίσταρχος οὗτός τις· ὡμολόγουν καὶ αἱ πλείους. A., cf. *K* 477

343. κατατεθνειώτων· Ἀρίσταρχος τεθνηώτων. A.

346. παραφθαίησι· οὕτως σχεδὸν αἱ πᾶσαι. A.

347. (Aristonicus.) ὁ δὲ Ἀρίσταρχος ἐπὶ νῆας, ἀντὶ τοῦ ποτὶ νῆας (Didymus). A.

349. ὣς ἄρα φωνήσαντε· οὕτως Ἀρίσταρχος καὶ θαυμαστὸν οὐδέν, εἰ Ὀδυσσέως εἰπόντος μόνου συλλήβδην ἔφη· ὣς ἄρα φωνήσαντε. σύνηθες γὰρ αὐτῷ τὸ τοιοῦτο. ἐν γοῦν τῇ παραποταμίῳ μάχῃ τοῦ Ποσειδῶνος εἰπόντος μόνου 'τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταῤῥόθω εἰμὲν Ζηνὸς ἐπαινήσαντος' ἐπιφέρει 'τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους

ἀπεβήτην (Il. Φ 287). ἐν μέντοι τῇ Ἀριστοφάνους καὶ ἄλλαις ἑτέρως ἐφέρετο ‘ὣς ἔφατ’· οὐδ’ ἀπίθησε βοὴν ἀγαθὸς Διομήδης. ἐλθόντες δ’ ἑκάτερθε παρὲξ ὁδοῦ ἐν νεκύεσσι κλινθήτην.’ A.

344. ἐπιδραμέτην· Ἀρίσταρχος ἐπεδραμέτην. A.

[359. τὸ ὁρμήθησαν Ἰακῶς.] A. Vocabulum Ἰακῶς lectionem Aristarcheam innuit, cf. *Α* 162. 464. 598 *Β* 205. 427. 751 *Γ* 415 *Δ* 213. 329. 517 *Ε* 900 *Ζ* 155. 157 *Μ* 420.

362. ὁ τέ σύνδεσμος οὐκ ἦν ἐν τοῖς (sic) Ἀριστάρχου. A.

387. (ἡ διπλῆ —)· ἠθέτει καὶ Ἀριστοφάνης. A.

391. ἤγαγεν· Ἀριστοφάνης ἤπαφεν. A.

398. Cf. Friedl. Ariston. p. 180 W. Ribbeck. quaestt. Zenod. p. 7.

413. καταλέξω· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἀγορεύσω. A.

431. ἱππόδαμοι· Ἀρίσταρχος ἱππόμαχοι. A.

445. ἤ ῥα κατ’ αἶσαν· [ἡ διπλῆ ὅτι] Ἀρίσταρχος ἠὲ κατ’ αἶσαν ἔξω τοῦ ῥά. καὶ ὅτι (leg. ἔστιν, ut *Ξ* 397) ὅμοιον τῷ ‘ἠὲ μετὰ Τρώεσσιν.’ A. Verba ἡ διπλῆ ὅτι proscribenda esse viderunt Lehrs. Friedl., cf. v. 225.

461. ἀνέσχεθε· γρ. ἀνέσχετο. Sequitur Aristonici scholion. A.

463. Ἀρίσταρχος ἐπιδωσόμεθα· ἵν’ ἢ δώροις τιμήσομεν. A.

465. ὑψόσ’· διχῶς αἱ Ἀριστάρχου ὑψόσε καὶ ὑψοῦ. A.

466. μυρίκην· σὺν τῷ ν μυρίκην. A.

477. οὗτός τοι· οὕτως οὗτός τοι· ἄνω δὲ οὗτος τις. A. Cf. *Κ* 341.

489. πλήξειε· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ πλήξασκε. A.

497. οὔτε ἐν Ζηνοδότῳ, οὔτε ἐν τῇ Ἀριστοφάνους ἐφέρετο. A. Cf. *Θ* 371.

505. ὑψόσ’ διχῶς, ὑψοῦ καὶ ὑψόσε. A.

513. ἐπεβήσετο· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἐπεβήσατο. A.

[534. παρὰ Ζηνοδότῳ δὲ οὐκ ἦν ὁ στίχος. V.]

538. κατὰ φρένα· Ἀρίσταρχος μετὰ φρεσίν. A.

539. Ἀργείων οἱ ἄριστοι· Ἀρίσταρχος Ἀργείων ὤριστοι καὶ ἄνευ τοῦ ι. A.

546. οὕτω σφωέ διὰ τοῦ ε καὶ πόρεν Ἰακῶς. [οὕτω καὶ Ἀρίσταρχος καὶ Ἡρωδιανός.] A. Novissima Didymus scribere non poterat. Similis huic locus est Ξ 249.

[579. διὰ τοῦ ο ἀφυσσόμενοι. V.]

οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἀφυσσάμενοι. ἔστι κατάλληλον πρὸς τὸ λεῖβον. A.

Λ.

13. 14. — καὶ παρὰ Ἀριστοφάνει δὲ ἠθετοῦντο, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἦσαν. A.

26. ἐν τῇ Ἀριστοφάνους σμερδαλέοι δὲ δράκοντες ἐλειχμῶντο. A.

28. οὕτως Ἰακῶς (τὸ?) στήριξεν. A.

38. ἐπ' αὐτοῦ· οὕτως Ἀρίσταρχος. γράφεται δὲ καὶ ἐπ' αὐτῷ. A.

40. οὕτως αἱ Ἀριστάρχου σὺν τῷ ρ, ἀμφιστρεφέες. καὶ τὰ ὑπομνήματα δὲ συμφωνεῖ, λέγων (?) ἓν μὲν εἶναι σῶμα τοῦ δράκοντος, κεφαλὰς δὲ τρεῖς περιπεπλεγμένας ἀλλήλαις. ἠπάτηνται δὲ οἱ χωρὶς τοῦ ρ γράφοντες ἐξ ἐκείνου 'τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωται (36). A.

[55. ἰφθίμους κεφαλάς· οὕτως αἱ Ἀριστάρχου. V.]

72. οὕτως Ἀρίσταρχος ἡ ὑσμίνη τὰς κεφαλὰς ἴσας εἶχεν. ἰσοκέφαλος ἦν αὐτοῖς ἡ μάχη. ἄλλοι δέ· ἴσας δ' ὑσμίνη κεφαλὰς ἔχον. A.

76. ἦχι· Ἀρίσταρχος χωρὶς τοῦ ι τὸ ἦχι. A.

78—83. τούτους καὶ Ἀριστοφάνης ἠθέτει. παρὰ δὲ Ζηνοδότῳ οὐδὲ ἐγράφοντο. A. Cf. Ι 23. 24. 25.

92. Βιήνορα· Ἀρίσταρχος Βιάνορα. A.

94. — Ζηνόδοτος δὲ ἀντίον καὶ Ἀριστοφάνης. A.

101. βῆ δ' Ἶσον· Ζηνόδοτος ἔξω τοῦ ρ βῆ Ἶσον. μὴ ἐμφέρεσθαι δέ φησιν ὁ Ἀρίσταρχος νῦν ἐν τοῖς Ποσειδίππου ἐπιγράμμασι τὸν Βήρισον, ἀλλ' ἐν τῷ λεγομένῳ σωρῷ εὑρεῖν. εὔλογον δέ φησιν ἐλεγχόμενον αὐτὸν ἀπαλεῖψαι. A.

103. ἐόντας Ἀριστοφάνης ἐόντε. A.

123. Ζηνόδοτος ἀντὶ τοῦ δαΐφρονος γράφει κακόφρονος, εὐτελῶς. A. (cf. B.) Poterit autem etiam ab Aristonico profectum esse. Cf. Duentzer. Zenod. p. 5.

128. φύγον· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ φύγεν. A.

129. οὕτως *ἐναντίον*. A.
132. Ζηνόδοτος *πολλὰ δ' ἐν Ἀντιμάχου πατρός*. A.
135. *ζωούς*· Ἀριστοφάνης *ζωώ*. AV.
[138. Ζηνόδοτος γράφει *κακόφρονος*. V.], cf. 123.
144. Ἀρίσταρχος *οὖδας ἔρεισεν*. A.
[οὔδει ἐρείσθη. οὕτως αἱ Ἀριστάρχου. V.]
146. Ἀρίσταρχος *πλήξας*. A.
179. 180. (ἀθετοῦνται —). Ζηνόδοτος οὐκ ἔγραφεν. Ἀριστοφάνης δὲ ἠθέτει τόν· Ἀτρείδεω ὑπὸ χερσίν. A.
184. *στεροπήν*· Ἀρίσταρχος μετὰ τοῦ α *ἀστεροπήν*. A.
219. Ζηνόδοτος καὶ Ἀριστοφάνης *ἀντίος*, Ἀρίσταρχος *ἀντίον* διὰ τοῦ ν. AB.
222. *μητέρι μήλων*· Ζηνόδοτος *μητέρι θηρῶν*. τῇ δ' ἐριβώλακι συνᾴδει καὶ τὸ πολυθρέμματον, οὐ τὸ ἔνθηρον. A.
230. διχῶς καὶ *ἐών* καὶ *ἰών*. A.
290. Ἀρίσταρχος *ὑπέρτεροι*. A.
325. διχῶς *θηρητῆρσι* καὶ *θηρευτῇσι*. A.
348. *μένοντες*· Ζηνόδοτος δυϊκῶς *μένοντε*. A.
356. προηθέτει Ἀριστοφάνης. Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. A.
391. *ἐπαύρῃ* — οὕτως καὶ διὰ τῶν ὑπομνημάτων. ἔν τισι δὲ γράφεται *ἐπαύρω*. A.
392. *αἶψα*· Ἀρίσταρχος *ἄνδρα*. A.
439. αἱ Ἀριστάρχου οὕτως *τέλος* καὶ σχεδὸν ἅπασαι. ἔγνω ὅτι οὐ κατὰ καίριον τέλος ἦλθεν ἡ πληγή, οὐκ εἰς καίριον τόπον ἐτελεύτα. || Ζηνόδοτος δὲ γράφει *βέλος*, κακῶς· οὐ βέβληται δέ, ἀλλ' ἐκ χειρὸς πέπληγε. λέγει δὲ τέλος τὸ τῆς ζωῆς. A. Didymum in his sibi audire videtur etiam Friedl. Ar. 196, quamquam offendit γράφει, quo vocabulo ad Aristonicum ducimur.
[451. ὦ *Σῶκε* ἐντελῶς αἱ Ἀριστάρχου. V.]
451. *τέλος θανάτοιο*· πρόδηλον κἀκ τούτου, ὅτι γραπτέον 'τέλος κάτα καίριον' (439). Ζηνόδοτος δὲ γράφει πάλιν '*φθῆ σε βέλος θανάτοιο*'. A. Possunt haec Didymi esse, possunt Aristonici, quippe qui γραπτέον et γράφει verbis uti soleat.

455. οὕτως Ἀρίσταρχος διὰ τοῦ μ, ἔμ' εἴ κε θάνω. εἰ δὲ διὰ τοῦ π ἐπεί κε θάνω, γραμματιστῶν. A.

457. εἷλκε· Ἀρίσταρχος ἕλκε. A.

458. αἷμα δέ οἱ σπασθέντος· οὕτως Ἀρίσταρχος οἱ, αἷμα δὲ αὐτῷ τῷ Ὀδυσσεῖ. || Ζηνόδοτος δὲ γράφει αἷμα δὲ οὗ σπασθέντος· γίνεται δὲ τὸ ἑαυτοῦ, ὃ οὐχ ἁρμόζει. A.

466. ἵκετο φωνή· Ἀρίσταρχος ἵκετ' ἀϋτή. A.

515. (ἀθετεῖται —). καὶ Ἀριστοφάνης προηθέτει. Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. A.

537. αἵ τ' ἀπ' ἐπισσώτρων· οὕτως κατὰ συναλοιφὴν ἐν ταῖς Ἀριστάρχου. A.

538. οὕτως Ἀρίσταρχος ῥῆξαί τε διὰ τοῦ τε. A.

539. δουρός· Ἀρίσταρχος δουρί κατὰ δοτικήν. A.

546. Ἀριστοφάνης δι' ὁμίλου. A.

549. οὕτω διὰ τοῦ ο ἐσσεύοντο. A.

553. ἀντίοι· Ἀρίσταρχος διὰ τοῦ ν ἀντίον. A.

564. τηλέκλητοι· Ἀρίσταρχος πολυηγερέες. A. [V.]

600. Ἀρίσταρχος ἑστήκει. A.

622. οὕτως διὰ τοῦ τέ, στάν τε. A.

632. διχῶς Ἀρίσταρχος ἦγ' ὁ γεραιός καὶ εἷχ' ὁ γεραιός. A.

672. βοηλασίῃ· οὕτως δὲ ἑνικῶς Ἀρίσταρχος· βοηλασίῃ. A. Ἑνικῶς saepius legitur in schol. Did., ut e. g. *Λ* 196 *M* 79 *N* 179.

686. χρέως· οὕτως Ἀρίσταρχος χρέως. D.

686. Aristonic.||Ἀριστοφάνης δὲ χρεῖος καὶ ὠφείλετο. A.

688. ὄφειλον· οὕτως Ἀρίσταρχος ὄφειλον· ἄλλοι δὲ ὄφελλον. A. [Ἀρίσταρχος ἀφεῖλον. V.]

705. — Ζηνόδοτος οὐδὲ ἔγραφεν. A.

764. — ἠθετοῦντο καὶ παρὰ Ἀριστοφάνει οἱ ιθ. B.

773. μηρί' ἔκηε· Ἀρίσταρχος μηρία καῖε. A.

782. ἠθέλετον· Ζηνόδοτος ἠθελέτην. A.

831. δεδιδάχθαι· Ζηνόδοτος δεδάσθαι. A.

838. ἔοι· Ζηνόδοτος διὰ τοῦ η ἔην. A.

841. σεῖο μεθήσω· Ζηνόδοτος σεῖ' ἀμελήσω· ποιητικώτερον δὲ τὸ ἕτερον. A. Haec quatuor verba nos commovent, ut Didymo tribuamus has adnotationes, quamquam Aristonicus eisdem de lectionibus dixisse putandus est.

M.

11. *ἔπλεν·* οὕτως Ἀρίσταρχος. AB.

[Ἀρίσταρχος *ἔπλεν* σὺν τῷ ν, ἐκ τοῦ ἔπελεν συγκοπὴν δεχόμενος. Ζηνόδοτος *ἔπλε*, (add. ἵν' ᾖ) ἀποκοπὴ τοῦ ἔπλετο. V.]

26. *συνεχές* Ἀρίσταρχος καὶ Ἀριστοφάνης διὰ τοῦ ἑτέρου ν. A.

30. οὕτως Ἀρίσταρχος *ἐποίησεν*. A.

40. Ἀριστοφάνης *ἐμαίνετο*. A.

44. *ἀντίοι·* γράφεται *ἀντίον*. οὕτως γὰρ Ἀρίσταρχος. A. [*ἀντίον ἀΐσσονται·* οὕτως Ἀρίσταρχος. V.]

46. *ἀγηνορίη·* οὕτως χωρὶς τοῦ ι Ἀρίσταρχος· ἔστι γὰρ ἡ ἀγηνορία. A.

54. *περί·* Ἀριστοφάνης [Ἀρίσταρχος V.] *διά*. AV.

59. *ἐσβαίη·* ἡ Ζηνοδότειος καὶ Ἀριστοφάνειος *καββαίη* [καμβαίῃ V.]· καὶ γὰρ ἐπιφέρει 'ἔνθ' οὔπως ἔστι καταβήμεναι οὐδὲ μάχεσθαι'. (65) A.

66. Aristonicus. || Ζηνόδοτος δὲ καὶ Ἀριστοφάνης *ἱππῆας*. A. Deinde Herodianus.

67. *εἰ μὲν γὰρ δὲ·* Ἀριστοφάνης [Ἀρίσταρχος V. *εἰ μὲν γὰρ τούς*. AV.

68. *βούλετ' ἀρήγειν· ἴετ' ἀρήγειν*. οὕτως πᾶσαι. A.

79. *πείρατ'·* Ζηνόδοτος καὶ Ἀριστοφάνης *πεῖραρ* ἑνικῶς. A.

.75. Ζηνόδοτος διὰ τοῦ τ *τὼς ἂν ἐγὼ εἴπω*. A.

127. Ζηνόδοτος καὶ Ἀριστοφάνης δυϊκῶς ἅπαντα, *ἀνέρε ἀρίστω, υἷε ὑπερθύμω, κιέτην*. A.

142. οὕτως Ἀρίσταρχος *ἐόντες* κατὰ τὴν εὐθεῖαν. A. [*ἐόντες* αἱ πλείους. V.]

147. οὕτως ἐν ἀπάσαις *δέχαται*. A.

153. οἱ περὶ Ζηνόδοτον *λάεσσι*, τοῖς λίθοις. A.

159. οὕτως διὰ τοῦ ο *ῥέον*. Ὁμηρικὸν τὸ σχῆμα. A.

[161. Ἀρίσταρχος *βαλλομένων*, ἄλλοι δὲ *βαλλόμεναι*. V. *βαλλόμεναι·* οὕτω Ζηνόδοτος V.]

[171. *ὥς οἵ γ'·* Ἀρίσταρχος *ὥς οἵδε*. V.]

175—180. ἠθετοῦντο δὲ καὶ παρὰ Ἀριστοφάνει. παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἐγράφοντο. A.

211. *ἐπιπλήσσεις·* οὕτως διὰ τοῦ π, *ἐπιπλήσσεις*. A.

218. *ὄρνις ἦλθε·* χωρὶς τῆς προθέσεως αἱ Ἀριστάρχου. A. [χωρὶς τῆς ἐπὶ αἱ Ἀριστάρχου, καὶ Ἀττικῶς ἐξέτεινε τὸ ὄρνις. V.]

231. *Πουλυδάμα·* αἱ Ἀριστάρχου χωρὶς τοῦ ν, παρὰ τὴν ἀναλογίαν. Ζηνόδοτος δὲ καὶ Χαμαιλέων σὺν τῷ ν. Πουλυδάμαν. A.

246. *ἐπ' Ἀργείων·* παρὰ Ζηνοδότῳ *ὑπ' Ἀργείων*. A.

276. *νεῖκος·* Ἀρίσταρχος *νῖκος* διὰ τοῦ ι· βούλεται γὰρ λέγεσθαι τῆς νίκης τὴν ἧτταν. A.

277. *προβοῶντε·* κατ' ἔνια τῶν ὑπομνημάτων *προβαόντε*, οἷον προβαίνοντες καὶ ἀμείβοντες τόπον ἐκ τόπου. διχῶς οὖν. A.

281. *ἔμπεδον·* οὕτως αἱ Ἀριστάρχου *ἔμπεδον·* ἡ δὲ Μασσαλιωτικὴ *ἄσπετον*. A.

283. Ἀρίσταρχος διὰ τοῦ ου *λωτοῦντα*. A. cf. VL.

318. οὕτως *ἀκλέες* αἱ Ἀριστάρχου καὶ αἱ χαριέστεραι. A. cf. praec. schol.

330. οὕτως Ἀρίσταρχος *ἄγοντε* δυϊκῶς. A.

340. οὕτως Ἀρίσταρχος *πάσας γὰρ ἐπῴχατο*. A. Praeterea vid. Friedl. Ariston. p. 211.

? 348. ἐκ πλήρους τὸν σύνδεσμον *καὶ κεῖθι* Ἀρίσταρχος. A. [γρ. κἀκεῖθι. V.]

350. καὶ Ἀριστοφάνης ἠθέτει. A.

382. οὕτως αἱ Ἀριστάρχου καὶ αἱ πλείους, *χείρεσ' ἀμφοτέρῃσιν*. ἐν δὲ ταῖς κοινοτέραις *χειρί γε τῇ ἑτέρῃ ἔχοι ἀνήρ*, ὅπερ ἐκλύει τὴν ἰσχὺν τοῦ Αἴαντος. A.

404. οὕτως *οὐδὲ διὰ πρό* αἱ Ἀριστάρχου, ἡ δὲ κοινὴ *ἡ δὲ διὰ πρό*. A.

407. *ἐέλπετο·* οὕτως διὰ τοῦ π αἱ Ἀριστάρχου, οὐχὶ δὲ διὰ τοῦ δ *ἐέλδετο*. A.

412. Ἀρίσταρχος *ἐφαμαρτεῖτε*, ἄλλοι δὲ *ἐφομαρτεῖτον*, ἄλλοι δὲ *ἐφομαρτεῖτε*. A.

420. οὕτως *πέλασθεν* Ἰακῶς. A. Cf. *K* 309.

423. *ὀλίγῳ ἐνὶ χώρῳ·* Ζηνόδοτος *ὀλίγῃ ἐπὶ χώρῃ*. A.

428. *ὅτῳ·* Ζηνόδοτος *ὅτεῳ*, καὶ ἐμφαίνει Ὁμηρικὸν χαρακτῆρα. καὶ γὰρ ἀλλαχοῦ φησί· τῷ ὅτεῳ τε πατὴρ κέλεται. (β 114) A.

435. οὕτως μετὰ τοῦ ν ἀνεικέα, ἔξω νείκους, τὸ ἴσον αὐτοῖς ἀπονέμουσα. ἄμεινον δέ, φησίν, ἀεικέα, τὸν εὐτελῆ. ἐν δὲ τῷ πρὸς τὸ Ξένωνος παράδοξον προφέρεται ἀμεμφέα μισθόν. A.

445. Ἀρίσταρχος ἑστήκει χωρὶς τοῦ ι. A.

450. καὶ Ἀριστοφάνης ἠθέτει, Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. A. Duentzer. Zenod. p. 3, 12. p. 5.

451. οὕτως διὰ τοῦ ε φέρει. A.

465. οὐκ ἄν τίς μιν ἐρυκάκοι ἀντιβολήσας· Ἀρίσταρχος· οὔ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας. A.

468. ὀτρύνοντι· οὕτως διὰ τοῦ ο ὀτρύνοντι. A.

N.

2. παρὰ τῇσι· Ζηνόδοτος καὶ Ἀριστοφάνης περὶ τῇσι. μήποτ' οὖν διχῶς. A. [τινὲς πρὸς τῇσι V.] [Ζηνόδοτος δὲ ὀχέμεν. V.]

6. Ἀρίσταρχος χωρὶς τοῦ τέ δικαιοτάτων ἀνθρώπων. A.

8. οὐ γὰρ ὅγ' ἀθανάτων· Ἀριστοφάνης διὰ τοῦ ε, οὐ γὰρ ἔτ' ἀθανάτων. A.

12. ἐπ' ἀκροτάτης κορυφῆς· Ἀριστοφάνης πληθυντικῶς ἐπ' ἀκροτάτῃς κορυφῇς. οὐκ ἀπίθανον δὲ ἡ χωρὶς τοῦ μ γραφή, Σάου ἀντὶ τοῦ Σάμου. τὴν γὰρ Σαώκην τὸ ὄρος φησὶ παραδηλοῦσθαι. A.

28. Ἀρίσταρχος ἠγνοίησαν, ἄλλοι δὲ ἠγνοίησεν. A. Deinde Aristonicus eadem de re.

51. ἕξουσι· Ἀριστοφάνης σχήσουσιν ὁμοίως τῷ 'παρμένετ' οὕτοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί.' (151) A.

59. διχῶς Ἀριστοφάνης, καὶ κεκοφώς καὶ κεκοπώς. ἐν δὲ τῇ Χίᾳ καὶ Ἀντιμάχου κεκοπών. A. [αἱ δὲ Ἀριστάρχου διχῶς, κεκοπώς καὶ τετυφώς V.] Leg. διχῶς Ἀρίσταρχος. Duentzer. Zenod. p. 11, 47.

71. γράφεται καὶ ἴθματα. Ζηνόδοτος δὲ καὶ Ἀρίσταρχος ἴχματα. A.

92. Πηνέλεων· διὰ τοῦ ο Ἀριστοφάνης, Πηνέλεον A.

103. Ἀρίσταρχος παρδαλίων, ἄλλοι δὲ πορδαλίων. A.

107. Ζηνόδοτος δὲ καὶ Ἀριστοφάνης νῦν δὲ ἑκὰς πόλιος. A.

115. ἔν τισι τῶν ὑπομνημάτων διὰ τοῦ τέ, ἀκέσταί τε ἀντὶ τοῦ ἀκέσταί τοι. A.

[144. ῥεῖα διελεύσεσθαι. οὕτως Ἀρίσταρχος, οἱ δὲ ῥεῖα δ' ἐλεύσεσθαι. V.]

? 166. Ζηνόδοτος [Ἀρίσταρχος V.] ξυνέηξε. A.

148. Ab ἠγνόησε — ἀποπέσῃ videntur Didymi esse, praesenti enim utitur Aristonicus, cf. v. 172. Friedlaender. p. 216 tamen Aristonico vindicat.

179. οὕτως Ἀρίσταρχος ἑνικῶς, ἄλλοι δὲ κορυφῆς. A.

191. οὕτως αἱ Ἀριστάρχου χρόος, ὡς λόγος· βούλεται δὲ διῃρῆσθαι τὴν εὐθεῖαν. [Ζηνόδοτος δὲ γράφει χρώς.] A. Inclusa vide ne Aristonici sint.

(198. αἶγα· Ζηνόδοτος αἶγε.. B.)

222. Ἀρίσταρχος μετὰ τοῦ γ, νῦν γ' αἴτιος. A. [Ἀριστοφάνης νῦν δ' αἴτιος. V.]

225. οὕτως διὰ τοῦ ν ἀνδύεται αἱ Ἀριστάρχου. A.

229. ὅτε μεθιέντα ἴδηαι· γράφεται καὶ ὅθι μεθίῃσι πόνοιο. A.

237. Ζηνόδοτος [καὶ Ἀριστοφάνης V.] συμφερτὸς δὲ βίῃ. A.

245. περὶ στήθεσσι· Ζηνόδοτος καὶ Ἀριστοφάνης ἐπὶ στήθεσσι. A.

246. ὁ Ζηνόδοτος καὶ ὁ Ἀριστοφάνης ἀντί τοῦ θεράπων ἐῢς γράφουσι δουρὶ κλυτός. A. cf. Duentzer. Zenod. p. 5, 19.

257. Ζηνόδοτος κατεήξαμεν, διὰ τὸ καὶ ἐν τοῖς ἔμπροσθεν (166) ὅ ξυνέηξε λέγειν. A., nisi leg. ἡ διπλῆ — ἔχεσκον· [ἡ δὲ ἀναφορά, ὅτι Ζηνόδοτος κτἑ].

287. οὕτως διὰ τοῦ γέ συνδέσμου αἱ Ἀριστάρχου. A.

289. οὕτως Ἀρίσταρχος οὐκ ἄν διὰ τοῦ α, αἱ δὲ κοιναὶ οὔ κεν. A.

315. κατ' ἔνια τῶν ὑπομνημάτων οἵ μιν ἄδην ἐάσουσι, ὅ ἐστι κορέσουσιν, καὶ ἐπὶ τοῦ Ποσειδῶνος (Od. ε 290) ἀλλ' ἔτι μέν μίν φημι ἄδην ἐλάαν κακότητος διὰ τῶν δύο αα παρέκειτο ἑάαν. μαρτυρεῖ καὶ τὸ 'ἄσειν ἐν Τροίῃ ταχέας κύνας' (Il. Λ 817)· οὕτως Ἀρίσταρχος. A.

318. κείνων· οὕτως πληθυντικῶς αἱ Ἀριστάρχου. A.
Ἀρίσταρχος ἀέπτους, ἄλλοι δὲ ἀάπτους. A.

347. Ζεὺς μέν ῥα· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ Ζεὺς μὲν ἄρα. A.

348. Ἀριστοφάνης οὐ δ' ὅγε. A.

358. τοί· οὕτως Ἀριστοφάνης, ἄλλοι δὲ οἱ. A.

359. ἐπ' ἀμφοτέροισι· διχῶς Ἀρίσταρχος, καὶ ἐπ' ἀλλήλοισιν. ἓν δὲ δι' ἀμφοτέρων τὸ λεγόμενον, ὅτι ὁ Ποσειδῶν καὶ ὁ Ζεὺς τὸν πόλεμον τῇ Ἔριδι συνέδησαν, τὸ πέρας τῆς ἔριδος καὶ πάλιν τὸ τοῦ πολέμου λαβόντες καὶ ἐπαλλάξαντας ἐπ' ἀμφοτέροις, ὥσπερ οἱ τὰ ἅμματα ποιοῦντες, τόδε ἐπὶ τόδε. οὕτως Ἀρίσταρχος. A. W. Ribbeck. quaestt. Zenod. q. 28, 4.

363. Καβησόθεν ἔνδον ἐόντα· ἐν τῇ Ἀργολικῇ Ἑκάβης νόθον υἱὸν ἐόντα. καὶ τάχα ἂν εἴη ἁμάρτημα κατ' ἄγνοιαν τῆς Καβήσου. A.

364. μετὰ κλέος· Ἀριστοφάνης κατὰ κλέος. A.

367. ἀπωσέμεν· Ἀρίσταρχος ἀνωσέμεν. A. Cf. V.

383. εἷλκε· Ἀρίσταρχος ἕλκε. A.

384. ἦλθεν ἀμύντωρ· Ἀρίσταρχος ἦλθ' ἐπαμύντωρ. A.

399. αὐτὰρ ὅ γ' ἀσθμαίνων· Ἀρίσταρχος χωρὶς τοῦ γ αὐτὰρ ὁ ἀσθμαίνων. A.

407. κανόνεσσ' ἐκ πλήρους αἱ Ἀριστάρχου κανόνεσσι. A.

415. ἰόντα διὰ τοῦ ι αἱ Ἀριστάρχου. A.

423. οὕτως διὰ τοῦ ε αἱ Ἀριστάρχου στενάχοντε, οὐ διὰ τοῦ α στενάχοντα ἐπὶ τοῦ νεκροῦ (γελοῖον γάρ), ἀλλ' ἐπὶ τῶν βασταζόντων. A.

443. πελέμιζεν· οὕτως διὰ τοῦ ζ Ἀρίσταρχος καὶ Ἀριστοφάνης. ἄλλοι δὲ πελέμιξεν διὰ τοῦ ξ. A.

446. οὕτως Ἀρίσταρχος (Ζηνόδοτος V.) δή τι ἐΐσκομεν, χωρὶς τοῦ σ. A.

447. οὕτω διὰ τοῦ ο Ἀρίσταρχος, Ζηνόδοτος διὰ τοῦ α. A.

[449. ἴδης· οὕτω Ζηνόδοτος. Ἀρίσταρχος δὲ ἴδῃ διὰ τοῦ ι V.] Ἀρίσταρχος χωρὶς τοῦ σ ἴδῃ. A.

450. Vide nos p. 23. Velsen. de Tryphone p. 66.

456. Ἀρίσταρχος ἤ τινα, ἄλλοι δὲ εἴ τινα. A.

465. οὕτως σχεδὸν ἅπασαι ἐπαμύνομεν. A. [τινὲς ἐπαμῦναι. V.]

485. οὕτως αἱ Ἀριστάρχου διὰ τοῦ π ἐπὶ θυμῷ, ἀντὶ τοῦ ἐνὶ θυμῷ. καὶ πᾶσαι οὕτως εἶχον. καὶ ἐν Ὀδυσσείᾳ 'εἰ γὰρ ἐγὼν οὕτω νέος εἴην τῷ δ' ἐπὶ θυμῷ' (π 99). Ζηνόδοτος δὲ ὁμηλικίην σὺν τῷ ν ἔγραφεν. A.

499. ἔξοχον ἄλλων· οὕτως διὰ τοῦ ν ἔξοχον ἅπασαι. A. [οἱ δὲ ἔξοχοι ἄλλων, οἱ δὲ ἔξοχον ἄλλως. V.]

502. πρῶτος· ἡ Ἀριστοφάνειος πρόσθεν· καὶ μήποτε βέλτιον. πρότερος γὰρ ἂν εἶπεν. A.

541. οὕτως Ἀρίσταρχος χωρὶς τοῦ ι. ἔνιοι δὲ Αἰνείας δ' Ἀφαρῆα. A.

546. ἀπό· Ζηνόδοτος διά. A.

551. Ζηνόδοτος καὶ Ἀριστοφάνης διὰ τοῦ α παρασταδόν. A.

584. ὁμαρτήτην· Ἀρίσταρχος ὁμαρτήδην, ὡς τμήδην. A.

594. οὕτως ᾗ ῥ' ἔχε μετὰ τοῦ ι αἱ Ἀριστάρχου. ἔστι γάρ, καθ' ὃ μέρος κατεῖχεν, ὡς ἐπὶ τοῦ 'ᾗ ῥ' ἴδε γυμνωθέντα' (Il. *M* 389). τινὲς δὲ ἄνευ τοῦ ι γράφοντες ἐφ' ὅλης τῆς χειρὸς δέχονται τὸ λεγόμενον, τὴν κατέχουσαν τὸ τόξον χεῖρα. A.

599. ἐϋστρόφῳ· Ἀρίσταρχος ἐϋστρεφεῖ, ὡς ἀπὸ τοῦ ἐϋστρεφής. A.

609. καὶ ἐέλπετο· Ζηνόδοτος μέγα δ' ἤλπετο. A.

613. ἐφίκοντο· οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ ἀφίκεσθον. Ἀριστοφάνης δὲ ἀφικέσθην. A.

617. οὕτως πέσον αἱ Ἀριστάρχου διὰ τοῦ ο, ὡς ἐκεῖ 'ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον'. (*M* 159) A.

627. παρ' αὐτῇ· διχῶς αἱ Ἀριστάρχου, καὶ διὰ τοῦ ε, περ αὐτῇ. A.

657. Ἀπολλώνιος ὁ Ῥόδιος ἐν τῷ πρὸς Ζηνόδοτον ἐς δίφρον ἀναθέντες. A.

692. οὕτω Μέγης ἔξω τοῦ τέ. οὐ γὰρ Φυλείδης. A.

702. ἵστατ' ἀπ' Αἴαντος· Ζηνόδοτος χάζετ' ἀπ' Αἴαντος. A.

[705. πολὺς δ' ἀνακηκίει· χωρὶς τοῦ δέ αἱ πᾶσαι. V.] χωρὶς τοῦ ν ἀνεκηκίει καὶ διὰ τοῦ ι. A.

713. σφι· οὕτως Ἀρίσταρχος χωρὶς τοῦ ν, σφι· Ἀριστοφάνης δὲ σὺν τῷ ν. A.

[730. *Ζηνόδοτος δ' ὁ Μαλλώτης προστίθησιν· ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν.* V.]

[732. *τιθεῖ νόον· νόον τίθει, οὕτως Ἀριστοφάνης.* V.]

733. *πολλοί· Ἀριστοφάνης πολλόν.* A.

785. *ἐμμεμαῶτες· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ μεμαῶτες.* A.

797. *οὕτως μετὰ τοῦ συνδέσμου θεσπεσίῳ δ' ὁμάδῳ.* A.

808. Aristonicus. || Didymus *καὶ ὁ Ἀρίσταρχος λέγει περὶ τοῦ στίχου οὕτως, ὅτι ἐν Ζηνοδοτείοις ἐφέρετο.* A.

810. *Ἀρίσταρχος αὔτως, ἄλλοι δὲ οὕτως.* A.

824. *Ζηνόδοτος βουγήϊε διὰ τοῦ η· ὁ δὲ Ἀρίσταρχος διὰ τοῦ α, τάχα ἐπεὶ γαίων ὡς ἐπὶ τὸ πλεῖστον ὁ ποιητὴς λέγει.* A.

Ξ.

16. *πορφύρῃ· ἐν τῇ Ζηνοδότου πορφύρει διὰ τῆς ει.* A.

17. *οὕτως οὐδ' ἄρα τε διὰ τοῦ τέ αἱ Ἀριστάρχου.* A.

36. *διχῶς αἱ Ἀριστάρχου μακρόν καὶ πολλόν. Ζηνόδοτος καὶ Ἀριστοφάνης πολλόν.* A.

37. *Ἀρίσταρχος φησὶ Ζηνόδοτον γράφειν ὀψαΐοντες. ὁ δ' ἐπιθέτης Πτολεμαῖος τῷ ῥ' οἵ γ' οὐ ψαύοντες. καὶ λόγον φησὶν ἔχειν τὴν γραφήν.* A.

40. *οὕτως διὰ τοῦ τ αἱ Ἀριστάρχου πτῆξεν, εἰς πτοίαν ἤγαγεν. οὕτως καὶ Ἀριστοφάνης. ὁ δὲ Σιδώνιος πῆξε, ἐν οἵῳ τρόπῳ καὶ ἐν τῷ βίῳ φαμὲν πεπηγέναι τινὰ τῷ φόβῳ· παρὰ δὲ Ζηνοδότῳ ἐγέγραπτο ἑταίρων ἀντὶ τοῦ Ἀχαιῶν.* A.

44. *δείδω· ἐν τῇ Ἀριστοφάνους δείδια.* A.

45. *ὥς· Ἀριστοφάνης ὅς διὰ τοῦ ο γράφει.* A.

58. *γνοίης Ἀριστοφάνης χωρὶς τοῦ σ γνοίη.* A.

67. *διήλλαττον αἱ Ἀριστάρχου, οἷς ἔπι καὶ ᾗ ἔπι. οἷς ἔπι, τῇ τάφρῳ καὶ τῷ τείχει.* A.

72. *οὕτως αἱ Ἀριστάρχου ὅτε διὰ τοῦ ε. καὶ ἔστιν ἀκόλουθον τῷ 'ᾔδεα γὰρ ὅτε πρόφρων' τὸ 'οἶδα δὲ νῦν ὅτε'.* A.

89. *αἱ Ζηνοδότου ἐκπέρσειν, οὐ καλλείψειν. καὶ παρίστησιν ἦθος.* A.

95. — *καὶ Ἀριστοφάνης δὲ προηθέτει.* A. Cf. Duentzer. Zenodot. p. 5, 19.

114. — *Ζηνόδοτος δὲ ἠθέτει, παρὰ Ἀριστοφάνει δὲ οὐκ ἦν. τὸ δὲ κάλυψεν Ἰωνικῶς.* A. (Leg. *Ἰακῶς* more schol. solito.) Cf. Duentz. Zenod. p. 5.

[118. *ἐμεῖο· οὕτω Ζηνόδοτος. τινὲς δὲ ἐμοῖο, ἵν' ᾖ κτητική.* V.]

118. *ἐμοῖο· οὕτως Ἀρίσταρχος Ζηνόδοτος δὲ ἐμεῖο· οὐκ ὀρθῶς.* A.

125. *αἱ Ἀριστάρχου εἰ ἐτεόν περ, ἵν' ᾖ ταῦτα δὲ ὑμᾶς εἰκὸς εἰδέναι ἀκηκοότας, εἰ ἀληθῆ λέγω. αἱ δὲ δημώδεις ὡς ἐτεόν περ.* A.

148. *ἡ Ἀριστοφάνους διὰ τοῦ δέ· ὅσσον δ' ἐννεάχιλοι.* A.

157. *Ἀρίσταρχος πολυπίδακος, ἄλλοι δὲ πολυπιδάκου.* A. (Quod *τελέως ἄγροικον* videtur alteri schol. A.)

162. Aristonicus. || Didymus *ἀγνοεῖν δὲ τὴν διαφορὰν αὐτόν φησιν Ἀρίσταρχος.* A.

177. *Ζηνόδοτος καὶ Ἀριστοφάνης καλοὺς καὶ μεγάλους.* A.

181. *Ἀρίσταρχος ζώνῃ καὶ ἀραρυίῃ· ἄλλοι δὲ ζώνην καὶ ἀραρυῖαν.* A.

[202. *οἵ με σφοῖσι· σὺν τῇ ἐν αἱ Ἀριστάρχου.* V.]

[203. *διὰ τοῦ α Ῥείας αἱ Ἀριστάρχου. οὕτως καὶ Ἀριστοφάνης.* A.

208. *κείνων· σὺν τῷ ν Ἀριστοφάνης καὶ Ζηνόδοτος. Ἀρίσταρχος δὲ ὁμηρικώτερόν φησιν εἶναι, εἰ κείνους παραπείσασα τὴν ψυχήν. ἐγχωρεῖν δὲ καὶ μετὰ τοῦ ν, εἰ κείνων τὸ κῆρ πείσασα. οὐ δεῖ δὲ ξενίζεσθαι ἐπὶ ταῖς τῶν πτώσεων ἐναλλαγαῖς.* A.

213. — *προηθέτει δὲ καὶ Ἀριστοφάνης.* A.

216. *ἐν δ' ὀαριστύς· ἔν τισι τῶν ὑπομνημάτων ἠδ' ὀαριστύς.* A.

223. *Ἀρίσταρχος μέσῳ, ἄλλοι δὲ ἑῷ.* A.

[*ἑῷ· οὕτως Ἀρίσταρχος, Ζηνόδοτος δὲ μέσῳ.* V.]

229. Ζηνόδοτος καὶ Ἀριστοφάνης ἐς πόντον ἐβήσετο. καὶ μήποτε ἄμεινον. A.

235. Ἀρίσταρχος χάριν εἰδέω· αἱ δὲ δημώδεις εἰδέω χάριν. A.

236. οὕτως· ὑπ' ὀφρύσιν ἡ Ἀριστάρχου καὶ Ἀριστοφάνους, ἵνα ᾖ τὰ ὑπὸ τοῖς ὀφρύσι. Ζηνόδοτος ἐπ' ὀφρύσι. A. Deinde Nicanor.

249. οὕτως κατ' εὐθεῖαν, ἄλλοτε ῇ (καὶ) Ἀρίσταρχος [καὶ Ἡρῳδιανός.] A. Inclusi quae partim aliena sunt, ut *K* 546.

255. ἔνιοι διὰ τῶν δύο οο γράφουσι Κόον· καὶ Καλλίστρατος [Καλλίμαχος V.] ἐν τοῖς διορθωτικοῖς. AV.

259. οὕτως ἐν πάσαις δμήτειρα. Ἀριστοφάνης καὶ Ζηνόδοτος μήτειρα. A.

285. ὑπεσείετο· Ἀρίσταρχος ὑπό, εἶτα σείετο, Ἰακῶς. οὕτως καὶ Ζηνόδοτος καὶ Ἀριστοφάνης. A.

295. πρῶτόν περ· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ πρώτιστον. A.

299. τῶν κ' ἐπιβαίης· Ζηνόδοτος καὶ Ἀριστοφάνης ἔξω τοῦ κέ συνδέσμου τῶν ἐπιβαίης. A.

304—6. — ἠθετοῦντο παρὰ Ζηνοδότῳ. A. Duentzer. Zenod. p. 5.

310. μετέπειτα· Ζηνόδοτος καὶ Ἀριστοφάνης μετόπισθε. A.

316. περιπροχυθείς· περισσῶς χυθείς. ὁ δὲ Ἰξίων γράφει περιπλεχθείς. A.

317—27. καὶ Ἀριστοφάνης προηθέτει. A.

322. Ἀρίσταρχος Μίνων [Ἀττικῶς V.] σὺν τῷ ν, Ζηνόδοτος χωρὶς τοῦ ν. A.

340. Ζηνόδοτος καὶ Ἀριστοφάνης ἐπεί νύ τοι εὔαδεν εὐνήν. A.

349. οὕτως Ἀρίσταρχος ἔεργε τὸν Δία καὶ τὴν Ἥραν. ἐν δέ τισιν ἄειρε καὶ ἔερπε διὰ τοῦ π. ἐν δὲ τῇ Χίᾳ ἴκανε. Ζηνόδοτος· ἵν' ἀπὸ χθονὸς ἀγκαζέσθην. A.

351. ἀπέπιπτον· Ζηνόδοτος ἐπέπιπτον. A.

376. ἔχῃ· Ἀρίσταρχος διὰ τῆς ει διφθόγγου ἔχει. A.
ibid. — Ζηνόδοτος δὲ προηθέτει. A.

382. ... ἔνια δὲ τῶν ὑπομνημάτων δῶκεν ἀντὶ τοῦ δόσκεν. καὶ ἔστιν εὐφραδέστερον. A. (L.)

[389. *οὕτως διὰ τοῦ α γραπτέον· τάνυσσαν.* A. Friedlaend. p. 236 rectius Aristonico tribuisse videtur.]

397. *ὦρετο· ἔν τισι τῶν ὑπομνημάτων ὦρορε καὶ ἔστιν ὅμοιον τῷ ὦρορ' ἐπαΐξας* (Il. *B* 146). A.

398. *τόσσον γε· οὕτως διὰ τοῦ ν, τόσσον γε Ἀρίσταρχος Ζηνόδοτος τόσσος γε.* A.

400. *ὅσση· ἔξω τοῦ τ αἱ Ἀριστάρχου. οὕτως καὶ Ζηνόδοτος καὶ Ἀριστοφάνης. ἄλλοι τόσση.* AB.

412. *βεβλήκει· οὕτως ἔξω τοῦ ν βεβλήκει, καὶ ἄνευ τοῦ ε. Ζηνόδοτος καὶ Ἀριστοφάνης σὺν τῷ ν, βεβλήκειν.* A.

416. *Ἀριστοφάνης δὲ τὸν δ' οὔτιν' ἔχει θράσος ὅστις ἴδηται.* A.

418. *ὦκα· Ἀρίσταρχος ὠκύ.* A.

ἄλλως. ἡ δὲ Μασσαλιωτικὴ καὶ ἡ Χία ὦκα. A.

427. *Ζηνόδοτος διὰ τοῦ τ τῶν τ' ἄλλων. διήλλαττον δὲ αἱ Ἀριστάρχου, ἀκήδεσαν* (ε) *καὶ ἀκηδέσατο, ἀκηδέστως ἔσχον.* A.

437. *διὰ τοῦ ε αἱ Ἀριστάρχου καὶ αἱ πλείους, ἀπέμεσσεν. Ζηνοδότειος δέ ἐστιν ἡ διὰ τοῦ α ἀπέμασσεν.*

438. *τὼ δέ οἱ ὄσσε· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ κὰδ δέ οἱ ὄσσε.* A.

[445. *Ζηνόδοτος παρ' ὄχθης* V.]

456. *οὕτως κόμισε χωρὶς τοῦ ν.* A.

[464. *Ἀρχέλοχος· Ἀρίσταρχος ἀναλογώτερον τοῦ Ἀρχιλόχου, ὡς Φερένικος, Μενέλαος.* V.]

469. *ἀμύμονι Πουλυδάμαντι· Ζηνόδοτος ἀμύμονα Πουλυδάμαντα.* A.

474. *αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει· Ἀριστοφάνης αὐτῷ γάρ ῥα φυὴν ἄγχιστα ἔοικεν.* A.

485. Aristonicus ‖ *Ζηνόδοτος δὲ ἐνὶ μεγάροισιν ἀρῆς, ὡς ἐκεῖ 'ἐμεῖο δὲ δῆσεν ἀρῆς.'* A.

499. *ὁ δὲ φῆ κώδειαν ἀνασχών· ὁ μὲν Ζηνόδοτος καὶ τὸν δέ καὶ τὸν φή ἐγκλίνει, ἵνα τὸ φή ταὐτὸν ὑπάρχῃ τῷ ὡς καὶ τὸ μεταλαμβανόμενον τοιοῦτον ᾖ, ὁ δὲ ὡς κώδειαν ἀνασχὼν πέφραδέ τε Τρώεσσιν. ὁ δὲ Ἀρίσταρχος ἐκδεξάμενος τὸ ἔφη ῥῆμα ὁμοίως τῷ ἔβη δοκεῖ ἀθετεῖν τὸν

δεύτερον στίχον, ὅπερ οὐκ ἀναγκαῖον. ποιητικὸν γὰρ ἔθος τὸ πολλάκις καὶ τὸ αὐτὸ ἐπαναλαμβάνεσθαι. πρὸς δὲ τὸν Ζηνόδοτον ὑγιῶς ἀποφαίνεται ἐκεῖνο, ὅτι ὁ ποιητὴς οὐδέποτε οἶδε τὸ φή ἀντὶ τοῦ ὡς, οἱ δὲ μετ' αὐτόν, ὥσπερ Ἀντίμαχος καὶ οἱ περὶ Καλλίμαχον. A.

505. σὺν νηυσί· Ζηνόδοτος καὶ Ἀριστοφάνης ἐν νηυσί. A.

Ο.

10. Ἀριστοφάνης κῆρ ἀπινύσκων διὰ τοῦ κ· ὁ δὲ Ἀρίσταρχος καὶ ἐν Ὀδυσσείᾳ διὰ τῶν δύο σσ 'δοκέεις δέ μοι οὐκ ἀπινύσσειν (ε 342). A.

17. οὕτως διὰ τοῦ η ἐπαύρηαι. A.

21. Ζηνόδοτος οὐδὲ ὅλως τὴν κόλασιν τῆς Ἥρας γράφει. A.

24. Ἀριστοφάνης θυμόν, ἄλλοι δὲ θυμός. A.

31. ἀπολλήξῃς· διὰ τοῦ ἑτέρου λ αἱ Ἀριστάρχου. A.

[32. ἴδῃ χωρὶς τοῦ σ. V.]

33. οὔτε παρὰ Ζηνοδότῳ οὔτε παρ' Ἀριστοφάνει ἦν. καὶ μήποτε περιττός ἐστιν. A.

44. τειρομένους· ἐν τῇ Ἀριστοφάνους καὶ Μασσαλιωτικῇ καὶ Ἀργολικῇ οὕτως ἐφέρετο κτεινομένους. καὶ ἔστιν ἐμφατικώτερον τοῦ τειρομένους. || AB. — οὕτως Ἡρακλέων.

49. Ἀριστοφάνης μετὰ τοῦ σ βοῶπις· καὶ ἔστιν εὐφραδέστερον. A.

50. ἀθανάτοισι καθίζοις· ἐν ταῖς εἰκαιοτέραις ἀθανάτοισι θεοῖσι. A.

53. οὕτως διὰ τοῦ γέ ἐτεόν γε καὶ Ἀριστοφάνης. A.

56—77. καὶ παρὰ Ἀριστοφάνει ἠθέτηντο. A.

64. οὕτως ἀνστήσει ὃν αἱ Ἀριστάρχου, τινὲς δὲ ἀνστήσειεν διὰ τοῦ ε. Ζηνόδοτος δὲ ἀπὸ τοῦ 'Πηλείδεω Ἀχιλῆος' ἕως τοῦ 'λισσομένη τιμῆσαι' οὐδ' ὅλως ἔγραφεν. A.

71. Ἀρίσταρχος δὲ Ἴλιον ἐκπέρσωσιν. A. Cf. BL., ubi pro Aristarcho τινὲς δὲ — γρ.

72. οὕτως Ἀρίσταρχος χωρὶς τοῦ σ παύω. A.

De 79 V. cf. Lehrs. ap. Friedl. Aristonic. p. 241.

82. οὕτως Ἀρίσταρχος ἔνθ' εἴην μετὰ τοῦ ν, καὶ διὰ τῶν δύο η μενοινήῃσί τε. A.

86. Quaere p. 115.

94. ἐκείνου· Ἀρίσταρχος κείνου Ἰακῶς. A.

104. κατ' ἔνια τῶν ὑπομνημάτων ἀφρονέοντα. A.

114. οὕτως καὶ ἡ Ἀριστάρχου καὶ πᾶσαι ἔπος ηὔδα, οὐ προσηύδα. A.

123. διὰ τοῦ ἑτέρου δ αἱ Ἀριστάρχου. A. (περιδδείσασα.)

134. ἡ Ἀριστοφάνειος κακὸν μέγα πᾶσι, Ζηνόδοτος δὲ θεοῖς μέγα πῆμα. A.

139. τοῦ γε· Ζηνόδοτος καὶ Ἀριστοφάνης τοῦ δέ. A.

147. 8. καὶ Ἀριστοφάνης προηθέτει. A.

[162. Ἀμμώνιος εἰ δέ μου. V.]

179. πολεμίζων· Ζηνόδοτος διὰ τοῦ ζ. A. [? V.]

187. οὕτως Ἀρίσταρχος διὰ τῶν δύο κ. A.

197. Ἀρίσταρχος βέλτερον, οἱ δέ εἰκαιότεροι γράφουσι κέρδιον, Ἀριστοφάνης κάλλιον. A.

207. εἰδῇ· Ζηνόδοτος διὰ τοῦ π εἴπῃ. A.

211. Ἀρίσταρχος μέν γε, ἄλλοι δὲ μέν κε. A.

231—235. — καὶ παρὰ Ἀριστοφάνει ἠθετοῦντο. A.

232. ὄφρ' ἄν· Ἀρίσταρχος τόφρ' ἄν μετὰ τοῦ τ. A.

240. οὕτως Ἀρίσταρχος διὰ τοῦ ε ἐσαγείρετο, παρατατικῶς. ἄλλοι δὲ ἐσαγείρατο διὰ τοῦ α. A.

252. ὄψεσθαι· Ἀρίσταρχος ἴξεσθαι. καὶ οὐκ ἔστιν ἄχαρις ἡ γραφή. A.

272. ἐσσεύοντο· Ἀρίσταρχος ἐσσεύαντο διὰ τοῦ α, καὶ ἅπασαι. A.

[277. Ζηνόδοτος γράφει τείως V. ?]

301. Ζηνόδοτος καὶ Ἀριστοφάνης Αἴαντε δυϊκῶς. A.

307. (βιβάς· Ἀρίσταρχος βιβῶν. A. Quae ex Aristonico breviata Duentzero Zenod. p. 4, 17 videntur.) ἄλλως· βιβῶν πᾶσαι εἶχον, Ζηνόδοτος βοῶν. ἐπεὶ καὶ ἑξῆς φησιν 'ἐπὶ δ' αὐτὸς ἄϋσε μάλα μέγα' (321). A.

395. ἔν τισιν ἀκέσματ'· οὕτως δὲ καὶ Ἀρίσταρχος. A.

398. οὕτως Ἀρίσταρχος ἔπος ηὔδα. A.

417. Ἀρίρταρχος χωρὶς τοῦ σ γράφει νῆα, προεῖπε γὰρ 'τὼ δὲ περὶ μιᾶς νηὸς ἔχον πόνον'. A.

450. διχῶς Ἀρίσταρχος, καὶ ἱεμένῳ καὶ ἱεμένων. A.

[451. ὄπισθε· Ἀριστοφάνης πρόσθε γράφει. καὶ ἔστι μᾶλλον εὔλογος ἡ γραφή. V.]

459. Ζηνόδοτος μάχης, ἄλλοι δὲ μάχην· καὶ Ἀριστοφάνης δὲ μάχην. A.

470. ἀμφότερα γράφεσθαί φησιν ὁ Ἀρίσταρχος, πρῴην καὶ πρωΐον, ταὐτὸν δὲ ἐξ ἑκατέρου σημαίνεσθαι. εὕρομεν δὲ καὶ ἐΰστροφον γεγραμμένον, καὶ ἔχει τινὰ ἐπίτασιν. A.

531. ἤγαγεν ἐξ Ἐφύρης· ἐν ἄλλῳ ἠγάγετ' ἐξ Ἐφύρης. Fortasse Didymeum est; sequitur enim Aristonicus. Ἐν ἄλλῳ in scholiis Didymeis legitur Z 248 Θ 103. 137 Υ 62 Φ 535. 586 (Σ 265).

563. χωρὶς τοῦ συνδέσμου ἔγραφεν Ἀρίσταρχος αἰδομένων ἀνδρῶν, πάντως ἵνα ἀσύνδετος γενόμενος ὁ λόγος πλέον τε διαστῇ καὶ μᾶλλον ἐμφήνῃ. ἄλλοι δὲ μετὰ τοῦ δ αἰδομένων δ' ἀνδρῶν. A.

601. Ἀριστοφάνης (sic) μέλλε Ἰακῶς. A. Nonne Ἀρίσταρχος? Non offendit Nauck. Ar. Byz. p. 42.

[610—15. — οὐδὲ παρὰ Ζηνοδότῳ δὲ ἦσαν οἱ πέντε. V.]

621. αὐτήν· οὕτως Ἀρίσταρχος μετὰ τοῦ ν, τὴν πέτραν. A. Cf. BL.

? 626. — ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι δεινὸς ἀήτης· ἀλλ' οὐ δεῖ γράφειν οὕτως. A. Friedlaenderus Aristonico tribuit p. 254; mihi Didymeum videtur propter vv. ἔνιοι δὲ ποιοῦσι (μεταποιοῦσι?); cf. Α 423.

645. κατ' ἔνια τῶν ἀντιγράφων χωρὶς τοῦ π ἆλτο. διχῶς δὲ τὸ στρεφθείς, διὰ τοῦ α καὶ διὰ τοῦ ε. A.

694. ἀΐσσων· γρ. ἀΐξας· Ἀρίσταρχος ἀντίος διὰ τοῦ σ. A.

ὦρσεν· Ἀρίσταρχος ὦσεν, χωρὶς τοῦ ρ. A.

712. Inde ab ὁ δὲ Διονύσιος haud scio an verba Didymi sint. Non accedit L. Friedlaender. p. 255.

714. πέσον· οὕτως διὰ τοῦ ο πέσον. A.

737. οὐ μέν τις· Ἀρίσταρχος χωρὶς τοῦ σ οὐ μέν τι. A.

741. οὕτως Ἀρίσταρχος σὺν τῷ ι μειλιχίῃ. A.

Π.

[5. Ἀρίσταρχος γράφει *θάμβησεν*· οὐ γὰρ ἂν ἔπληξεν ἐν τῷ πυνθάνεσθαι, εἴπερ ᾤκτειρεν. V.]

16. διὰ τοῦ η *τεθνηῶτων* αἱ Ἀριστάρχου. A.

[21. *Πηλέως υἱέ*· οὕτω Πτολεμαῖος. οἱ δὲ ὑπομνηματισάμενοι Ἰακῶς. V.]

25. Ἀριστοφάνης ἔξω τοῦ ἄρθρου μὲν *Τυδείδης*. A.

31. Excidit Didymi adnotatio de voce *αἰναρέτη*, servata tamen in A Aristonici (p. 256 ed. Fr.) animadversione, quam si cum schol. BL comparaveris, non negabis, opinor, in BL Didymum expressum esse, *σύνθετόν ἐστι παρὰ θηλυκόν, ὡς τὸ ὑψαγόρη μισογύνη, ὅπερ ἀγνοοῦντες γράφουσιν αἰναρέτης, ἵν' ᾖ ὁ χόλος, ὁ πολέμιος καὶ ἐχθρὸς τῆς ἀρετῆς. ἡ δὲ δίχα τοῦ σ ἀνάγνωσις Ἀριστάρχειός ἐστι.* Leg. *γράφουσιν αἰν' ἀρετῆς.*

[35. *ὅτι τοι*· Ἀρίσταρχος δὲ γράφει *ὅτι τοι*. V.]

[50. *ἥν τινα*· Ἀρίσταρχος *εἴ τινα*, ἵν' ᾖ ἠθικώτερον· εἰ καὶ οἶδα, φησί, τινὰ μαντείαν, ἀλλ' οὐ φροντίζω αὐτῆς. μέμνηται δὲ τῆς μαντείας ἐν ταῖς λιταῖς. BL.]

[53. *δή*· Ἀρίσταρχος *τίς*. V.]

[59. *μετανάστην*· ἐν τῇ Μασσαλιωτικῇ καὶ τῇ Ῥιανοῦ *μεταναστεῖν*, καὶ ἀκούουσι τὴν Βρισηΐδα ... V. ὁ μὲν Ἀρίσταρχος γράφει *μεταναστήν*, καὶ πρὸς τὴν Βρισηΐδα ἀκούει. ὁ δὲ Ἡρῳδιανὸς κτλ. BL. Cf. Aristonicum in A. Omnia in his turbata sunt.]

71. οὕτως *ἐναύλους* διὰ τοῦ υ. A.

76. *ὀπός*· ἔν τισι τῶν ὑπομνημάτων *ἔπος*. A.

106. γράφεσθαί φησιν ὁ Ἀρίσταρχος καὶ *τύπτετο δ' αἰεὶ καπφάλαρ' εὐποίητα* διὰ τοῦ π, οὐκ εὖ. βούλεται γὰρ λέγειν *καὶ τὰ φάλαρα* καναχὴν εἶχεν. A.

120. οὕτως Ἀρίσταρχος *κεῖρε*, χωρὶς τοῦ ι Ἰακῶς. ἔστι γὰρ ἔκειρε, εἰς ἄπορον καθίστη τὰ τῆς μάχης, ὡς μηδὲν ἔχειν μήσασθαι. A.

127. *ἰωήν* — ἐν τῇ Μασσαλιωτικῇ *ἐρωήν*. A.

140. Ζηνόδοτος τοῦτον ἀθετήσας τοὺς ἑξῆς τέσσαρας οὐκ ἔγραφεν. A.

143. διχῶς, καὶ *τάμε* καὶ *πόρε*. A.

156. *πάντας· Ζηνόδοτος πάντῃ*. A.

161. *Ζηνόδοτος δὲ λάψαντες, ἐμπλησθεῖσιν αὐτοὺς εἰκάζων, οὐ καλῶς* ... ABL.

175. *ὅν· χωρὶς τοῦ τ ὃν τέκεν Ἀρίσταρχος, οὕτω καὶ Ἀριστοφάνης*. A.

188. *ἐξάγαγεν φόωςδε· οὕτως καὶ Ἀριστοφάνης, φόωςδε. Ζηνόδοτος δὲ προφόωςδε*. A.

207. *Ἀρίσταρχος Ἰακῶς θαμὰ βάζετε*. A.

223. *ἄγεσθαι· Ζηνόδοτος καὶ Ἀριστοφάνης ἰόντι*. A.

227. *ὅτι· οὕτως Ἀρίσταρχος ὅτι· ἄλλοι δὲ διὰ τοῦ ε ὅτε*. A. Cf. BL.

228. *οὕτως Ἀρίσταρχος τό ῥα διὰ τοῦ ἑνὸς ρ*. A.

[234. *δυσχειμέρου· οἱ περὶ Ζηνόδοτον πολυπίδακος κτέ*. V.?]

[237. *Ζηνόδοτος οὐδὲ γράφει, Ἀριστοφάνης ἀθετεῖ*. V.]

252. *διχῶς γράφεται, καὶ σόον καὶ σάον*. A.

254. *οὕτως ἀπέθηκε διὰ τοῦ α*. A.

261. — *ἠθέτει καὶ Ἀριστοφάνης*. A.

Ἀρίσταρχος ἔχοντας διὰ τοῦ α, καὶ ἅπασαι. A.

[272. — *Σέλευκος δὲ ἀθετεῖ*. V.]

281. Cf. V.

290. *Ἀρίσταρχος Ἰακῶς ἀμφὶ φόβηθεν*. A.

[313. *Ἀριστοφάνης ὑφορμηθέντα ἀντὶ τοῦ ὑποχωρήσαντα· καὶ οὐκ ἄχαρις ἡ γραφή*. BL.] Brevis censura Didymum sapit, cf. *O* 252.

353. *οὕτως αἴ τε θηλυκῶς, αἱ ὄϊες*. A.

[365. *ὅτε τε Ζεύς· ὅταν ἐκ τῆς αἰθέρος ὁ Ζεὺς ἐκτείνῃ λαίλαπα. ἐν δὲ τοῖς ὑπομνήμασι κατὰ δοτικὴν ἦν λαίλαπι, ἵν' ᾖ ὅταν ὁ Ζεύς ἐν λαίλαπι παρατείνῃ τὰ νέφη*. LV.]

379. *ἀνεκυμβαλίαζον· οὕτως Ἀρίσταρχος ἀνακυμβαλίαζον διὰ τοῦ α. οὐ γὰρ ἑκάστοτε τὰ σύνθετα μεταβάλλει παρὰ τοῖς Ἴωσιν. ἄλλοι δὲ ἀνεκυμβαλίαζον*. A.

406. *ἕλκε χωρὶς τοῦ ι Ἀρίσταρχος καὶ ἑξῆς* (409) *ὡς ἕλκ' ἐκ δίφροιο*. A.

430. *κεκλήγοντες* . . *ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου*. A. Cf. V.

445. οὕτως ζῶν αἱ Ἀριστάρχου, ἀπ' εὐθείας τῆς ζῶς, τὸν ζῶν 'ἢ κε ζῶς ἀμενηνὸς ἔα' (Il. *E* 887). A.

450. Ἀρίσταρχος φίλος ἐστί, ἄλλοι δὲ φίλον ἐστί. A.

467. δοκεῖ διὰ τούτων συγχεῖσθαι ἡ διαφορὰ τοῦ βαλεῖν καὶ οὐτάσαι· βέβληται γὰρ ὁ Πήδασος. καὶ μήποτε γραφή τις ἐφέρετο, δι' ἧς τὸ τῆς λέξεως σύνηθες ἐφύλασσεν Ὅμηρος· οὐ γὰρ ἂν αὐτὸ ἀπαραμύθητον ὁ Ἀρίσταρχος ἀφῆκεν. ἐν τοίνυν τῇ Φιλήμονος οὕτως ἐφέρετο 'ὁ δὲ Πήδασον ἤλασεν ἵππον'. ἔστι γὰρ ὅτε ἐπὶ τῆς πληγῆς τὸ ἤλασεν κεῖται, ὡς ἐπὶ τοῦ Ἀρήτου (Il. *P* 517) 'καὶ βάλεν Ἀρήτοιο' εἶτα 'νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.' διὰ μέντοι τοῦ ν γραπτέον τὸ δεύτερον ὁρμηθείς. A. Hariolatur V.

488. διὰ τοῦ ν, ἐν εἰλιπόδεσσι, αἱ Ἀριστάρχου. A. [γράφεται ἐπ' εἰλιπόδεσσι· αἱ δὲ πλείους διὰ τοῦ ν. V.]

504. οὕτως Ἀρίσταρχος ἕλκε χωρὶς τοῦ ι, καὶ ἔχοντο οὕτως διὰ τοῦ χ. A.

507. διὰ τοῦ ε λίπεν, ἐπειδὴ τὰ ἅρματα τῶν ἀνάκτων ἐλείφθησαν, ἠρημώθησαν. Ζηνόδοτος δὲ διὰ τοῦ ο λίπον. A. [L.]

515. Ἀρίσταρχος τὸ πλῆρες ἀκούει πάντοσε. Ζηνόδοτος πάντες ἀκούειν διὰ τοῦ ε· (πάντοσε ὡς πάντοθεν· κτέ Herodiani esse videntur coll. L.) A.

522. Ἀρίσταρχος οὐδ' οὗ παιδός. A.

526. οὕτως διὰ τοῦ η αἱ Ἀριστάρχου κατατεθνηῶτι. A.

559. ἀλλ' εἴ μιν· ἐν τῇ Ῥιανοῦ ἀλλ' εὖ μιν. A.

[613. ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου οὐκ ἐφέρετο καθάπαξ· ἐν δὲ τῇ δευτέρᾳ ἄλογος (? ὀβελός) αὐτῷ παρέκειτο. V.]

633. οὕτως ὀρώρει Ἀρίσταρχος, ἔν τισιν ὄρωρεν. A.

634. ἀκουή· Ἀριστοφάνης ἀϋτή. AV.

636. ἄμεινον εἶχεν, φησὶν ὁ Ἀρίσταρχος, εἰ ἐγέγραπτο βοῶν εὐποιητάων, ἔξω τοῦ τέ συνδέσμου, ἵν' ᾖ ῥινὸς βοῶν. A. [ἐν δέ τισιν εὕρομεν ῥινῶν τε βοῶν τε κατὰ τὸ πληθυντικόν. A.]

638. Ἀρίσταρχος κατὰ δοτικήν, Σαρπηδόνι δίῳ. A.

648. ἐκ πλήρους καὶ κεῖνον αἱ Ἀριστάρχου. A.

668. οὕτως Ἀρίσταρχος Σαρπηδόνι κατὰ δοτικήν. Σαρπηδόνι κάθηρον τὸ αἷμα. μήποτε δὲ Ζηνόδοτος ὀρθῶς

ἠθέτηκε τούτους. παράλογον γὰρ τὸν ἀπενθῆ τοιαῦτα διακονεῖσθαι. A.

707. οὔ νύ τοι· Ἀρίσταρχος οὔ νύ πω. A.

774. Ἀρίσταρχος διὰ τοῦ α ἀστυφέλιξεν. A.

775. Ἀρίσταρχος ὁ δ' ἐν στροφάλιγγι, σὺν τῷ ν. A.

810. πότε· διὰ τοῦ τ αἱ Ἀριστάρχου τότε, ὡς τῶν τότε μελετώντων τὴν τοιαύτην ἄσκησιν, ὥστε τὸν ἀντελαύνοντα ἀνατρέψαι ἀπὸ τοῦ ὀχήματος. A.

842. οὕτως διὰ τοῦ ε, σε προσέφη. A.

854. ἐκ πλήρους τὸ δαμέντα Ἀρίσταρχος. A.

858. διὰ τοῦ η τὸ τεθνηῶτα Ἀρίσταρχος. A.

P.

20. πορδάλιος· διὰ τοῦ α αἱ Ἀριστάρχου. A.

27. οὐδέ ἑ· διὰ τοῦ τέ οὐδέ τε Ἀρίσταρχος. A.

[34. ἐν τισι τῶν ὑπομνημάτων ἦ τάχα τίσεις. V.] Cf. *E* 857 *H* 95 *Θ* 81 *I* 700 *K* 46 *N* 115 *Ξ* 216. 397 *Π* 76.

41. κατ' ἔνια δὲ τῶν ὑπομνημάτων διὰ τοῦ π ἐπὶ δηρόν, ὁμοίως τῷ 'ἐπὶ δηρὸν δέ μοι αἰών' (*I* 415). A.

42. Ἀρίσταρχος ἀμφότερα διὰ τοῦ δ, ἠδ' ἀλκῆς ἠδὲ φόβοιο. A.

44. χαλκός· οὕτως Ἀρίσταρχος, ἵν' ᾖ ἐπιδορατίς· ἄλλοι δὲ χαλκόν. AV.

54. Ζηνόδοτος διὰ τοῦ ο ἀναβέβροχεν, ὡς ἐκεῖ 'ἀλλ' ὅτ' ἀναβρόξειε θαλάσσης' (Odyss. μ 240). A.

95. Ἀρίσταρχος διὰ τοῦ η περιστήωσι. A.

103. ἰόντες Ζηνόδοτος ἰόντε δυϊκῶς. A.

134—136. παρὰ Ζηνοδότῳ καὶ ἐν τῇ Χίᾳ οὐκ ἦσαν οἱ γ στίχοι. ἴσως φασὶν ἔνιοι, ὅτι οἱ ἄρσενες λέοντες οὐ σκυμναγωγοῦσιν, ἀλλὰ θήλειαι μόναι. κατὰ δὲ τὸ ἀρσενικὸν καὶ ἐπὶ τῆς θηλείας τέτακται ὁ λέων καὶ ἔστιν ἐπίκοινον. ἔστι γάρ τινα ὀνόματα ἀρσενικά, ἃ καὶ ἐπὶ θηλυκῶν τάσσεται, καὶ θηλυκά, ἃ καὶ ἐπ' ἀρσενικῶν, οἷον ἱέραξ μὲν καὶ ἐπ' ἄρσενος καὶ θηλείας τάσσεται, πάρδαλις δὲ θηλυκὸν ὄνομα καὶ ἐπ' ἀρσενικοῦ τίθεται. οὐκοῦν κατὰ μὲν τὴν ἡμετέραν συνήθειαν λέων μὲν λέγεται ὁ ἄρσην, λέαινα δὲ ἡ θήλεια· κατὰ δὲ τὸν Ὅμηρον μήπω (?) τὴν λέαιναν εἴ-

θισται, ἀλλὰ τὸ ἀρσενικὸν μόνον, διὸ εἶπεν ἀρσενικῷ ἄρθρῳ χρώμενος 'ᾧ ῥά τε νήπι' ἄγοντι', οὐχὶ 'ᾗ ῥά τε νήπι' ἀγούσῃ'. ὁ δὲ Ἀντίμαχος ἐκ τούτου πλανηθεὶς ᾠήθη καὶ τὸν ἄρσενα σκυμναγωγεῖν. || *τὸ μέγεθος δὲ Αἴαντος ὑποφαίνει ἡ παραβολή.* A. Recepit Friedlaend. p. 275 inter Aristonicea, quamvis Didymi esse viderentur.

139. *ἑστήκει· ἔξω τοῦ ι.* A.

144. *σαώσεις· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ σαώσῃς διὰ τοῦ η.* A.

149. *διὰ τοῦ ν μεθ' ὅμιλον. παρὰ δὲ Ζηνοδότῳ μεθ' ὁμίλου. καὶ λόγον ἔχει ἀντὶ τοῦ ἔξω ὁμίλου.* A.

161. *οὕτως διὰ τοῦ η τεθνηώς.* A.

171. *ὢ πόποι· παρὰ Ζηνοδότῳ ὦ πέπον, οὐ κακῶς.* A.

173. *παρὰ Ζηνοδότῳ νῦν δέ σε ἔξω τοῦ υ.* A.

178. *παρὰ Ἀριστοφάνει τότε δ' αὐτός.* A.

202. — *αἱ δὲ Ἀριστάρχου ὅς δή τοι σχεδὸν εἶσι.* A.

214. *οὕτως Ἀρίσταρχος κατὰ δοτικήν, ἄλλοι δὲ μεγαθύμου Πηλείωνος.* [*Ζηνόδοτος Πηληϊάδεω Ἀχιλῆος.* V.] A.

215. *Ζηνόδοτος ὄτρυνεν.* A.

229. *τεθνειῶτα· διὰ τοῦ η Ἀρίσταρχος.* A.

213. (*τῶν· Ἀρίσταρχος κατὰ δοτικὴν τῷ.*) *οὕτως τῷ Ἀρίσταρχος κατὰ δοτικήν, τῷ ἐρυσσαμένῳ.* A.

234. *ἔλπετο· οὕτως Ἀριστοφάνης διὰ τοῦ ε· γράφεται καὶ διὰ τοῦ η.* A. Cf. V.

264. *ἐν τῇ κατὰ Ἀριστοφάνη βεβρύχῃ.* A.

268. *φραχθέντες· Ζηνόδοτος ἀρθέντες.* A. Cf. V.

270. *Ἀρίσταρχος διὰ τοῦ ε ἔχθαιρε.* Abhinc lacuna in cod. A.

[292. *Ἀρίσταρχος ἱεμένων διὰ τοῦ ν πληθυντικῶς.* V.]

[368. *Ζηνόδοτος ἐπὶ τόσσον, Ἀριστοφάνης μάχῃ ἔνι.* V.]

[392. *κυκλόσ'· Ζηνόδοτος κύκλῳ, Ἀρίσταρχος κύκλος, ὡς 'πληθὺς ἀπονέοντο' καὶ ἐπὶ Μενελάου ὁμοίως ἐν τῇ Δ* (212) — V.]

[456. *μένος ἠΰ· οὕτως Ἀρίσταρχος, Ζηνόδοτος δὲ μένος πολυθαρσὲς ἐνῆκε καὶ προστίθησιν 'αὐτὸς δ' Οὔλυμπόνδε μετ' ἀθανάτοισι βεβήκει.* V.]

[τὸ ἤρει ἄνευ τοῦ ι πᾶσαι εἶχον. V.]

607. οὕτως Ἀρίσταρχος τοὶ δ' ἐβόησαν. Vide p. 112.

631. ἐφείη· διχῶς, καὶ ἐφείη. A.

637. οἵ που δεῦρ'· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ οἵ που νῦν. A. [κακῶς. V.]

681. οὕτως Ἀρίσταρχος ἴδοιτο, τὰ ὄσσε δηλονότι. Cf. BV.

721. μένοντες· Ἀριστοφάνης δυϊκῶς μένοντε. A.

[751. οὐδέ τέ μιν. Ἀριστοφάνης οὐδέ τί μιν. V.]

Σ.

10. 11. ἐν τῇ Ῥιανοῦ καὶ Ἀριστοφάνους οὐκ ἦσαν οἱ β, ἴσως ἐπεὶ οὐκ ἦν Μυρμιδὼν ὁ Πάτροκλος· Λοκρὸς γὰρ ἦν ἐξ Ὀποῦντος. δεῖν δέ φησιν ὁ Ἀρίσταρχως οὕτως αὐτὸν παραδέχεσθαι, τὸν μετὰ τὸν ἄριστον τῶν Μυρμιδόνων. καὶ κατά τινας δὲ τῶν μεθ' Ὅμηρον Ἄκτωρ ὁ πατὴρ τοῦ Μενοιτίου λέγεται λαβεῖν Αἴγιναν, ἐκ ταύτης δὲ γενέσθαι Μενοίτιον καὶ οἰκῆσαι ἐν Ὀποῦντι. οὕτως οὖν γίνεται τὸ ἀνέκαθεν Μυρμιδὼν ὁ Πάτροκλος. δύναται δὲ καὶ ἑτέρως Μυρμιδὼν ὁ Πάτροκλος λέγεσθαι διὰ τὸ μετὰ τὸν Ἀχιλλέα ἡγήσασθαι τῶν Μυρμιδόνων. πῶς δέ, φασί, τοῦτο πεπυσμένος παρὰ τῆς μητρὸς ἔπεμπε τὸν Πάτροκλον εἰς τὸν πόλεμον; ὅτι κτλ. A.

14. ἂψ ἐπὶ νῆας ἴμεν· οὕτως αἱ Ἀριστάρχου. ἐν ἐνίαις δὲ φαύλως νῆας ἔπ' ἂψ ἰέναι. A. Ἀρίσταρχος καὶ Ἀριστοφάνης ἂψ ἐπὶ νῆας ἴμεν. AV.

34. ἀποτμήξειε· οὕτως Ζηνόδοτος. Ἀρίσταρχος ἀπαμήσειε. A. (V. ἀποτμήσειε Aristarcho vindicat.)

39. ὁ τῶν Νηρηΐδων χορὸς προηθέτηται καὶ παρὰ Ζηνοδότῳ ὡς Ἡσιόδειον ἔχων χαρακτῆρα. Ὅμηρος γὰρ κατὰ τὸ κοινὸν Μούσας λέγει καὶ Εἰλειθυίας, ἀλλ' οὐκ ὀνόματα. γελοῖόν τε ἐξ ὀνόματος προθέμενον εἰπεῖν πάσας, ὥσπερ ἀποκαμόντα εἰπεῖν (ἐπαγαγεῖν Lehrs. ap. Friedl. p. 281. 2) 'ἄλλαι δ' αἱ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν'. ὁ δὲ Καλλίστρατος οὐδὲ ἐν τῇ Ἀργολικῇ φησὶν αὐτοὺς φέρεσθαι. A. Friedlaend. l. l. huius scholii partem priorem Aristonico, posteriorem Didymo vindicat.

40. Ἀρίσταρχος χωρὶς τοῦ θ Ἄλεια, παρὰ τὴν ἅλα. A.

53. *ἐνί*· Ἀριστοφάνης *ἐπί*. A.

100. διὰ τοῦ ω *Ἄρεω* ἡ Ἀριστάρχου· καί ἔστι τὸ λεγόμενον· ἐμοῦ δὲ ἐδέησε τὸ ἀλεξητῆρα γενέσθαι τοῦ Ἄρεω, καθ' ὃν ἀπώλετο. ἀπ' εὐθείας τῆς ὁ Ἄρεως, ὡς ὁ Πείρεως. 'Πείρεω υἱόν' (Υ 484). ἐν δὲ τοῖς εἰκαιοτέροις *ἀρῆς* τῆς βλάβης, ἐπεὶ καὶ Ἡσίοδος 'ἀρῆς ἀλκτῆρα' βλάβης καὶ κακώσεως ἔφη (scut. 29. 128). A.

124. *ἀδινὸν*· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ *ἀδιν*. (sic) A.
(ά written above *ἀδινὸν*)

142. *ἀγορεύσατ'*· παρὰ Ζηνοδότῳ *ἀγορεῦσαι*· καὶ ὑποφαίνει τὸ Ὁμηρικὸν ἔθος. A.

171. ἡ Ἀριστάρχου κατὰ γενικὴν *Πατρόκλου ἐπάμυνον*. A. Abhinc incipit Aristonici adnotatio a Friedlaendero p. 284 male omissa Lehrsio obtemperanti ad *Π* 522 p. 267.

182. *τίς γάρ σε*· ἡ ἑτέρα τῶν Ἀριστάρχου διὰ τοῦ τ, *τίς τάρ σε*. μήποτε δὲ ἀμείνων ἡ προτέρα, παρόσον σύνηθες Ὁμήρῳ ἀπὸ τοῦ γάρ ἄρχεσθαι. Cf. Nauck. Aristoph. Byz. p. 63 n. 88. A.

198. *αὔτως* παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει διὰ τοῦ ο *αὐτός*, ἵν' ᾖ· αὐτὸς χωρὶς ὅπλων· [καὶ λόγον ἔχει χαρίεντα] καὶ οὐκ ἄλογός ἐστιν ἡ γραφή. A.

207. *ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται*· οἱ περὶ Διονύσιον τὸν Θρᾷκά φασιν Ἀρίσταρχον πρώτῃ ταύτῃ χρώμενον τῇ γραφῇ μεταθέσθαι, καὶ γράψαι *ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται*. [καὶ γὰρ ἄτοπον, φησί, πῦρ εἰκάζεσθαι καπνῷ V.] ἐμφατικῶς τὸ ἐν πολέμῳ πῦρ ἐπιτεθὲν τῷ Ἀχιλλεῖ παρέβαλε τῷ ἐν πολεμουμένῃ ἁπτομένῳ. A.

210. *ἄστεος ἐκ σφετέρου*· Ζηνόδοτος *ἄστυ ποτὶ σφέτερον*. A.

213. *Ἄρεως*· Ἀρίσταρχος *Ἄρεω*. A.

222. ἀμέτρως ὁ Ζηνόδοτος *ὄπα χαλκέην*, οὐ συνεὶς ὅτι παραπλήσιόν ἐστι τὸ σχῆμα τῷ 'κλυτὸς Ἱπποδάμεια' (*B* 742) καὶ 'θερμὸς ἀϋτμή' (hymn. in Merc. 110). A. Fortasse Aristonici est, cui tribuit Friedl. Duentzerum Zenod. p. 4 sequi malui.

265. μαχήσεται· ἐν ἄλλῳ μαχέσσεται. A.
317. διὰ τοῦ σ ἄπασαι ἀνδροφόνους. A.
[321. ἴχνι'· Ἀρίσταρχος γὰρ ἰχνεύει. V.]
364. πῶς δὴ ἔγωγ'· παρὰ δὲ Ζηνοδότῳ καταδώριον (?) ἐγών. A.
376. — ἐν δὲ ταῖς εἰκαιοτέραις θεῖον κατὰ δῶμα νέονται [νέοιντο V.] A.
381 ?
385. παρὰ Ζηνοδότῳ ἡμέτερόνδε καὶ Θέτις τανύπεπλος ἱκάνεις. A.
400. πολλά· Ζηνόδοτος καὶ Ἀριστοφάνης πάντα. A.
404. οὕτως ᾔδεεν. γράφεται δὲ καὶ ᾔδειν. A.
407. μετὰ τοῦ ι τὸ ζωάγρια ὁ Ἀρίσταρχος. A.
424 ut 385.
466. παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει παρέξομαι. A.
471. διὰ τοῦ σ εὔπρηστον. τινὲς δὲ διὰ τοῦ κ εὔπρηκτον. καὶ ἀκούουσι πρὸς πρᾶξιν εὐάρμοστον. A.
477. παρὰ Ζηνοδότῳ κρατερόν διὰ τοῦ ο. A.
485. Ζηνόδοτος ἐστήρικται, Ἀρίσταρχος ἐστεφάνωκεν. A.
492. ἐκ θαλάμων· Ζηνόδοτος ἐς θαλάμους, καὶ ἔστιν οὐκ ἀπίθανος ἡ γραφή. A.
499. ἀποφθιμένου· παρὰ Ζηνοδότῳ ἀποκταμένου καὶ ἐν ταῖς πλείσταις, καὶ ἔστιν οὐκ ἀπίθανος ἡ γραφή. A.
502. παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει ἀμφοτέρωθεν· ἡ Μασσαλιωτικὴ ἀμφοτέρωθεν ἐπίπνυον. A.
506. αἱ Ἀριστάρχου ἀμοιβηδόν, ὡς κλαγγηδόν. κατὰ τάξιν τῆς ἡλικίας. A.
526. Ἀριστοφάνης δυΐκῶς τερπομένω. A.
528. πώεα καλά· παρὰ Ζηνοδότῳ πῶϋ μέγ' οἰῶν. A.
537. τεθνειῶτα· Ἀρίσταρχος τεθνηῶτα. A.
538. εἶμα δ' ἔχ'· ἐν τῇ Μασσαλιωτικῇ εἶμά τ' ἔχε. A.
540. κατατεθνειῶτας· Ἀρίσταρχος διὰ τοῦ η. A.
549. οὕτως Ἀρίσταρχος τέτυκτο, Ἰακῶς. A.
557. ἔξω τοῦ ι ἑστήκει αἱ Ἀριστάρχου, ἄλλοι εἱστήκει. A.
563. ἀργυρέῃσιν· Ζηνόδοτος ἀργυρέοισιν. A.

565. *ἐπ' αὐτήν·* παρὰ Ζηνοδότῳ *ἐς αὐτήν*, καὶ ἔχει λόγον ἡ γραφή. A.

568. Ἀρίσταρχος *ταλάροισι καὶ πλεκτοῖσι.* A.

[*μελιηδέα καρπόν·* οὕτως αἱ Ἀριστάρχου. V.]

570. παρὰ Ζηνοδότῳ *λίνος δ' ὑπὸ καλὸν ἄειδε.* ‖ ὁ δὲ Ἀρίσταρχος βούλεται μὴ τὴν χορδὴν λέγεσθαι, ἀλλὰ γένος τι ὕμνου τὸν λίνον, ὥσπερ εἰ ἔλεγε· παιᾶνα ᾖδεν ἤ τι τοιοῦτον. διὸ ἡ διπλῆ. A. Coaluerunt, ni fallor, Didymus et Aristonicus. Nam παρὰ Ζηνοδότῳ Didymum sapit. Aliter sensit Friedlaend. p. 289; mecum Duentzer. Zenod. p. 4.

576. παρὰ Ζηνοδότῳ *διὰ ῥαδαλόν·* ὁ δὲ Ἀριστοφάνης *παρὰ ῥαδαλόν.* ῥαδαλόν δὲ ἀκουστέον τὸν εὐκράδαντον δι' ὕψος. φησὶ δὲ Διονύσιος γράφεσθαι καὶ *δονακῆεν* κατὰ τὸ οὐδέτερον, ὡς καὶ τὸν πευκῶνα πευκᾶεν. A.

579. ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου *δύο πρώτησι βόεσσι.* παρὰ δὲ Ζηνοδότῳ *κυανέω δὲ λέοντε.* A.

581. *τὸν δέ·* παρὰ Ζηνοδότῳ *τοὺς δέ*, τοὺς λέοντας, τὸ δὲ *ἕλκετο* χωρὶς τοῦ ι. A.

592. *Ἀριάδνῃ·* παρὰ Ζηνοδότῳ *Ἀριήδνῃ.* A.

597. 598. οὗτοι δὲ ..... οὐδὲ παρὰ Ἀριστοφάνει ἦσαν. A. Correxit Friedl. Ariston. p. 290.

T.

17. *ἐξεφάανθεν·* οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ *ἐξεφαάνθη.* A.

27. οὕτως Ἀρίσταρχος διὰ τοῦ η *σαπήῃ.* A.

[30. *ἀλαλκεῖν·* Ἀριστοφάνης *ἀλαλκέμεν.* V.]

41. *ἥρωας·* παρ' Ἀριστοφάνει καὶ Ῥιανῷ *ἐρίηρας.* A.

56. ἐν δὲ τῇ Χίᾳ *ὄνειαρ* ἐγέγραπτο, ἐν τῇ Μασσαλιωτικῇ *ἄμεινον.* A.

[62. Χαμαιλέων δὲ γράφει *ἐπιμηνίσαντος.* V.]

70. οὕτως Ἀρίσταρχος διὰ τοῦ ν *ἀντίον.* A.

75. *ἀπειπόντος·* Ἀρίσταρχος ἔξω τοῦ ο *ἀπεικόντος*, καὶ αἱ πλείους. A.

67. 77. Vide p. 116.

79. *ἀκούειν·* οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ *ἀκουέμεν.* A.

80. Ἀρίσταρχος ἐπισταμένῳ περ ἐόντι. A.
86. παρ' Ἀριστοφάνει καὶ τῇ Χίᾳ νεικείουσιν. A.
90. ἔξω τοῦ ν αἱ Ἀριστάρχου ἀλλὰ τί κε ῥέξαιμι. γράφεται δὲ καὶ κατ' ἔνια θεοὺς διὰ πάντα τελευτᾷ, διὰ τοὺς θεοὺς τέλος πάντα λαμβάνει. ἐν δέ τισι θεοὺς διὰ πάντα τέτυκται.
92. τῇ μέν· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ τῆς μέν. A.
95. Ἀρίσταρχος Ζεὺς ἄσατο. καὶ οὕτως ἐν ἁπάσαις, Ζεὺς ἄσατο. καὶ ἔστι ποιητικώτερον. ἐν δέ τισι τῶν εἰκαιοτέρων Ζῆν' ἄσατο. A.
96. παρὰ Ἀριστοφάνει ἀλλά νυ καὶ τόν. ἐν δὲ τῇ Χίᾳ φάμεν ἔμμεναι, ἠθικῶς. A.
105. ἄλλως. παρὰ Ἀριστοφάνει ἔξω τοῦ θ οἷ αἵματος. A.
117. ἐν τῇ Χίᾳ μής. A.
(189. τέως — ἐν δὲ ταῖς εἰκαιοτέραις μετὰ τοῦ πέρ. B.) Friedl. Nican. p. 256 Nicanori vindicat minus recte.
327. καὶ Ἀριστοφάνης προηθέτει τὸν στίχον, ὥς φησι Καλλίστρατος. τό τε γὰρ ἐπὶ παιδὸς κομιδῇ λέγεσθαι διστακτικῶς εἴ που ἔτι ζώει, καὶ ταῦτα μηδὲ πόῤῥω τῆς Σκύρου κειμένης, ὕποπτον, τό τε θεοειδής ἀκαίρως προσέῤῥιπται. τεκμήριον δὲ τῆς διασκευῆς τὸ καὶ ἑτέρως φέρεσθαι τὸν στίχον, εἴ που ἔτι ζώει γε Πυρῆς ἐμός, ὃν κατέλειπον. A. Hoc scholion Didymi esse mecum sentit L. Friedlaend. in Ariston. p. 295.
333. οὕτως Ἀρίσταρχος δμῶας ἔξω τοῦ ι. A.
365—368. ἀθετοῦνται στίχοι τέσσαρες. γελοῖον γὰρ τὸ βρυχᾶσθαι τὸν Ἀχιλλέα, ἥ τε συνέπεια οὐδὲν ζητεῖ διαγραφέντων αὐτῶν, ὁ δὲ Σιδώνιος ἠθετηκέναι μὲν τὸ πρῶτον φησὶν αὐτῶν τοὺς ἀριθμούς, ὕστερον δὲ περιελεῖν τοὺς ὀβελούς, ποιητικὸν νομίσαντας τὸ τοιοῦτο. ὁ μέντοι Ἀμμώνιος ἐν τῷ περὶ τῆς ἐπεκδοθείσης διορθώσεως οὐδὲν τοιοῦτο λέγει. A. — Reliqua ab Aristonico sunt profecta, ut recte observat Friedlaender. p. 295.
376. Ἀρίσταρχος τό τε καίεται. A.
386. οὕτως εὖτε Ἀρίσταρχος· συνέσταλται δὲ τὸ ἠύτε, καὶ διὰ τοῦ ε εἴρηται. παρὰ δὲ Ἀριστοφάνει τῷ δ' ὥστε. ἐν δὲ ταῖς ἀπὸ τῶν πόλεων τῶν δ' αὖτε. A. οὕτως γρα-

πτέον τῷ δ' εὖτε, ἵνα ᾖ ὡσεὶ πτερὰ διὰ τὴν κουφότητα· ἔξωθεν δὲ τὸ ὥς. πρότερον δὲ γράφων ὁ Ἀρίσταρχος τῷ δ' εὖτε καὶ κατὰ συστολὴν δεχόμενος ἀντὶ τοῦ ἠύτε, ὡς ἐπὶ τοῦ 'εὖτ' ὄρεος κορυφῇσι' (Γ 10), μετέγραψεν ὕστερον τῷ δ' αὖτε ἐμφατικώτερον νομίσας εἶναι, ὑπακουομένου τοῦ ὥς, ὡς κἀκεῖ 'καιροσέων δ' ὀθονέων ἀπολείβεται' (Od. η 107). A. Insunt Didymea, quamquam verba hominis ipsa non servantur.

387. οὐδὲ ἐν ἄλλαις ἦσαν οἱ ἀθετούμενοι. A.

393. οὕτως διὰ τοῦ ο ζεύγνυον. A.

Υ.

12. οὕτως διὰ τοῦ ι τὸ ἰδυίῃσι· καὶ τέλειον τὸ ποίησε. A.

28. Ἀρίσταρχος καὶ δέ τι διὰ τοῦ ι. A.

35. Ἀρίσταρχος κέκασται, οὐ διὰ τοῦ ο κέκαστο. A.

57. αὐτὰρ ἔνερθε· Ἀρίσταρχος Ἰακῶς αὐτὰρ νέρθε. A.

59. πολυπίδακος· οὕτως Ἀρίσταρχος πολυπίδακος, ἄλλοι δὲ πολυπιδάκου. A.

62. ἆλτο· ἐν ἄλλῳ ὦρτο. οὕτως καὶ ἡ Μασσαλιωτική. A.

77. μάλιστά γε· Ἀρίσταρχος μάλιστά ἑ, μάλιστα αὐτόν. A.

84. οὕτως διὰ τοῦ ι ὑπίσχεο. A.

114. Ἀρίσταρχος τὸ ἡ ἄρθρον ἐκδέχεται. Ζηνόδοτος δὲ περιέσπασε καὶ ἐψίλωσεν, ῥῆμα ἐκδεξάμενος, ὁμοίως τῷ 'ἦ καὶ κυανέῃσιν' (Α 528) καὶ ὅλον τὸν στίχον μεταποιεῖ, ἦ δ' ἄμυδις καλέσασα θεοὺς ῥεῖα ζώοντας, ἔφη δὲ εἰς ἓν συναγαγοῦσα τοὺς θεούς. ἠγνόησε δέ, ὡς ὁ ποιητὴς οὐ χρῆται τῷ ἦ ῥήματι ἐν ἀρχῇ λόγου, ἀλλὰ τοῖς ῥηθεῖσιν ἐπιλέγει. καὶ τούτῳ γε παρ' αὐτῷ διαφέρει τοῦ ἔφη, ὅτι τὸ μὲν καὶ προτάττεται καὶ ὑποτάττεται. Ἀρίσταρχος δὲ ἡ δ' ἄμυδις στήσασα, καὶ αἱ πλεῖσται. A. [V.]

138. ἄρχωσι· Ἀρίσταρχος προκρίνει τὴν διὰ τοῦ ω γραφήν, γράφεσθαι δέ φησι καὶ διὰ τοῦ η ἄρχῃσιν. A. Cf. V.

156. Ἀρίσταρχος Ἰακῶς λάμπετο. A.

188. ἡ Ῥιανοῦ καὶ Ἀριστοφάνους *βοῶν ἔπι*, οὐκ ἀχαρίτως. A. Adde AB ἐν τῇ Χίᾳ δὲ *βοῶν ἔπι*.

195. οὕτως Ἀρίσταρχος *ἐρύεσθαι* χωρὶς τοῦ *σέ*. A.

228. Ἀρίσταρχος *ἀλλ' ὅτε δέ*, ἄλλοι δὲ *ἀλλ' ὅτε δή* διὰ τοῦ η. A. Cf. B.

255. οὕτως Ἀρίσταρχος, *πολλὰ τά τε καὶ οὐκί*, τά τε ταῖς ἀληθείαις ὄντα καὶ μή. τὰ δὲ φαυλότερα τῶν ἀντιγράφων *ἐτεά* ἔχει τουτέστιν ἀληθῆ. A. Cf. AV.

259. οὕτως αἱ Ἀριστάρχου· διαιρετέον τὸ *σάκεϊ*, καὶ Ἰακῶς τὸ *ἔλασσε*. καὶ τὸ *δινῷ* δὲ ἔξω τοῦ ε ἀπὸ τοῦ δινεῖσθαι 'δινωτὴν φορέουσα' (Il. *N* 407). A.

263. *ῥεῖα*· Ἀρίσταρχος ἔξω τοῦ ι *ῥέα*. A.

[303. Ἀρίσταρχος γράφει *ὄφρα μὴ ἄφαντος γενεὴ δμηθέντος ὄληται*. Paris.]

306. *ἤχθηρε*· παρὰ Ἀριστοφάνει *ἤχθαιρε*. A.

308. αἱ διὰ τῶν πόλεων *λίπωνται* εἶχον ἀντὶ τοῦ *γένωνται*. A.

331. *καί μιν φωνήσας*· παρὰ Ζηνοδότῳ *καί μιν νεικείων*, παρὰ Ῥιανῷ τὸν *καὶ νεικείων*. A.

332. *ἀτέοντα*· οὕτως ἐν ἁπάσαις *ἀτέοντα* ἀφροντιστοῦντα. A.

346. *τῷ δ' ἐφέηκα*· ἐν ἄλλῳ *τῷ ἐφέηκα*. A. Recepi, quod adiungitur schol. Aristonici.

[385. οὕτως *Ὕδης* διὰ τοῦ *δ*, τῆς Λυδίας· *Ὕλης* δὲ τῆς Βοιωτίας. B.]

[395. *Δημολέοντα*· οὕτως Ἀρίσταρχος. τινὲς δὲ *Δηϊλέοντα*. B.]

414. οὕτως κατὰ γενικὴν *παραΐσσοντος*. A.

426. Ἀρίσταρχος *οὐδ' ἂν ἔτι δήν*, διὰ τοῦ *ἄν*. A.

471. *ἐνέπρησεν* Φιλόξενος καὶ Ἀρίσταρχος. || περὶ δὲ τῆς γραφῆς Ἀριστάρχου (-χος leg. Lehrs. Ar. p. 24) ἐν ποιήματί φησιν οὕτως· τὸ αἷμα ἀπὸ τοῦ ἥπατος ἐκρούνιξε χύδην καὶ τὸν τοῦ χιτῶνος κόλπον ἐνεφύσησεν. A. Vid. W. Ribbeck. Zenod. quaestt. p. 6.

[481. *πρόσθ' ὀρόων*. Ζηνόδοτος χωρὶς τοῦ *θ* *πρόσ' ὀρόων*. V.]

Φ.

1. *Ἀριστοφάνης γράφει* ῥόον. A.

11. *ἔννεον· ἔνιοι τῶν κατὰ πόλεις* νήχοντ'. A.

62. *ἐκ πλήρους τὸν* καί *σύνδεσμον Ἀρίσταρχος*. A.

73. *τοῦτον προστιθέασί τινες οὐ φερόμενον ἐν ταῖς Ἀριστάρχου. ἐν δέ τισι* καί ῥ' ὀλοφυρόμενος. *ἄλλοι* καί μιν λισσόμενος. A.

84. *Ἀρίσταρχος Ἰακῶς* δῶκε. A.

86. — *ἔνιαι τῶν κατὰ πόλεις* ἄνασσε *ἀντὶ τοῦ* ἀνάσσει. A. [*Ἀρίσταρχος σὺν τῷ* ν *τὸ* ἀνάσσειν, *οἱ δὲ χωρίς. οὐκ ἀλόγως γὰρ περὶ Πηδάσου ὡς πεπορθημένης* 'πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον' (Υ 92), *εἰ μὴ ἄρα φαίημεν πεπορθῆσθαι μὲν πρότερον τὴν Πήδασον, ἀνειληφέναι δὲ πάλιν τὴν ἀρχὴν τὸν Ἄλτην*. V.]

106. *οὕτως διὰ τοῦ* ο ἄπασαι οὕτως. A.

110. Cf. p. 112.

122. *διχῶς*, κεῖσο *καὶ* ἧσο. A.

ib. *οὕτως διὰ τοῦ* ν ὠτειλήν *ἄπασαι*. A.

127. *Ἀριστοφάνης διὰ τοῦ* ω ὥς κε φάγησιν. AV.

130. *Ἀρίσταρχος διὰ τῶν ὑπομνημάτων Ἀριστοφάνη φησὶ στίχους ἓξ ἠθετηκέναι ὡς παρεμβληθέντας ὑπὸ τῶν ἀπορούντων, διὰ τί ὁ ποταμὸς ὀργίζεται, καίτοι σαφῶς αὐτοῦ λέγοντος τὴν αἰτίαν· Ξάνθος ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν, οὓς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον οὐδ' ἐλέαιρεν·* (146) *εἰ γὰρ ἐβλασφημήθη ὁ ποταμός, ἔλεγεν ἂν τοῦτο πρὸς Ἥραν καὶ Ἥφαιστον. καὶ τὸ* δηθά, *ὡς οὐχ Ὁμηρικῶς κείμενον αἰτιῶνται μήποτε μέντοι καὶ ὁ Ἀρίσταρχος συγκατέθετο τῇ ἀθετήσει, μηδὲν ἀντειπὼν τῷ Ἀριστοφάνει*. A.

131. *Ἀρίσταρχος* πολέας. *ἔνιοι δὲ* πολεῖς. *ἠθέτει δὲ αὐτοὺς Ἀριστοφάνης*. A. [V.]

162. *Ἀρίσταρχος ἀποκοπὴν εἶναι βούλεται τοῦ ἁμαρτήδην, ὅ ἐστιν ἅμα. διὸ καὶ χωρὶς τοῦ* ι *γράφεται. ἐν δὲ τῇ Μασσαλιωτικῇ* ὁ δ' ἁμάρτῃ δούρασιν ἄμφω, *καὶ λόγον ἔχει*. A.

172. *ἔνιοι* μεσσοπαγές *διὰ τοῦ* γ *οὐκ εὖ· βούλεται γὰρ λέγειν ἕως μέσου παλλόμενον. δι' οὗ τὸ σφοδρὸν τῆς βολῆς παρίστησιν. οὕτως Ἀρίσταρχος*. A.

185. οὕτως δὲ κατὰ δοτικὴν ἐκγεγαῶτι αἱ Ἀριστάρχου. A.

190. Cf. B.

191. Ἀρίσταρχος ἔξω τοῦ δέ· κρείσσων αὖτε. A.

195. οὐδέ· Ἀρίσταρχος οὔτε. A.

217. οὕτως διὰ τοῦ γέ, ἐμέθεν γ᾽ ἐλάσας. A. [τινὲς πελάσας. V.]

246. Ἀρίσταρχος ἐκ δίνης, ἄλλοι ἐκ λίμνης. A. Cf. V. et Aristonicum apud Friedl. p. 309.

249. οὕτως δὲ πόνοιο αἱ Ἀριστάρχου διὰ τοῦ π. Ἀριστοφάνης φόνοιο, καὶ λόγον ἔχει. A.

[262. οὕτως φθάνει διὰ τοῦ ἑτέρου ε, οὐ φθανέει. B. Suspicor δίχα τοῦ.]

265. ὁρμήσειε· γράφεται καὶ οἰμήσειε. προκρίνει δὲ τὴν διὰ τοῦ ρ γραφὴν Ἀρίσταρχος. AVB.

[282. ἐν τῇ Μασσαλιωτικῇ εἱρχθέντα. V.]

303. ἔσχεν· Ἀρίσταρχος διὰ τοῦ ι ἴσχεν. A.

319. V. διχῶς οὖν ἡ γραφή sc. εἱλύσω et ἱλύσω.|

321. — ὁ δὲ Ἀρίσταρχος διὰ τοῦ ν ἀνλέξαι ἀντὶ τοῦ ἀλλέξαι. ABV.

347. Ἀρίσταρχος ἀνξηράνη. A. μετὰ τοῦ ν· — Ἀριστοφάνης δὲ γράφεται αἶψ᾽ ἐξεναίνειν. V. Cf. Nauck. Aristoph. Byz. p. 38.

351. αἱ ἐκ τῶν πόλεων ἠδὲ κυπάρων (κύπαιρον) εἶχον. A.

355. οὕτως πνοιῇ· ἐν τισι δὲ ῥιπῇ. A.

363. κνίσην· οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ κνίσης. A. ibid. Aristonicus, deinde γράφουσι δέ τινες κνίσὴν σὺν τῷ ν· οὕτως γὰρ καὶ Ἀρίσταρχος, καί φησιν, ὅτι ἀντὶ τοῦ τηκόμενος, ὅπερ ἰσοδυναμεῖ τῷ τήκων. κνίσην δὲ πᾶν τὸ πιμελές. A. Adde B.

397. οὕτως Ἀρίσταρχος πανόψιον τὸ οἱονεὶ πανόρατον καὶ λαμπρὸν καὶ ἐπιφανές. A. Cf. B., ubi Antimachea lectio notatur ὑπονόσφιον.

442. οὕτως ἐνταῦθα μέμνηαι· διπλῇ γὰρ ἡ χρῆσις. A.

446. γράφεται πόλει, ὡς Ἀριστοφάνης. A.

454. οὕτως Ἀρίσταρχος τηλεδαπάων· αἱ ἀπὸ τῶν πόλεων θηλυτεράων. A.

455. *γράφεται ἀπολεψέμεν οὔατα*. A. Cf. Aristonic.
492. *οὕτως τὸ ἐντροπαλιζομένην διὰ τοῦ ν*. A.
[513. *νεῖκος πληθυντικῶς νείκεα αἱ Ἀριστάρχου*. V. Cf. B.]
530. *ὀτρύνων· οὕτως Ἀρίσταρχος ἔξω τοῦ ε ὀτρύνων, ἄλλοι δὲ ὀτρυνέων*. B.
535. *οὕτως Ἀρίσταρχος ἐπανθέμεναι διὰ τοῦ ν, οἷον ἀναθεῖναι. τινὲς δὲ τῶν κατὰ πόλεις ἐπ' ἂψ θέμεναι*. A. *ἐπ' ἂψ θέμεναι· ἐν ἄλλῳ ἐπανθέμεναι*. A.
558. *οὕτως Ἰλήϊον διὰ τοῦ λ ἀντὶ τοῦ Ἰλιακόν. ὁ δὲ Κράτης Ἰδήϊον, τὸ Ἰδαῖον*. A.
573. *διὰ τοῦ α πάρδαλις εἶχον αἱ Ἀριστάρχου*. A.
575. Ex ABDV apparet Zenodoteam lectionem reiectitiam *κυνυλαγμόν* a Didymo secundum Aristarchum proscriptam esse. Vid. Aristonic. p. 316. — W. Ribbeck. quaestt. Zenod. p. 23.
[576. *οἱ ἀπὸ τῶν πόλεων φθάμενός τις*. V.]
586. *ἀνέρες εἰμέν· ἐν ταῖς πλείοσιν οὕτως ἐφέρετο ἄνδρες ἔνειμεν· καὶ μήποτε οὐ καλῶς*. A. (*ἄλλως· ἐν ἄλλῳ· ἄνδρες ἔνειμεν*. A.)
[587. *οὕτως αἱ Ἀριστάρχου οἵ καὶ πρόσθε· ἔν τισι δὲ τῶν εἰκαιοτέρων οἵ κε πρόσθε*. B.]
[600. *αὐτῷ γὰρ ἑκάεργος· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ αὐτῷ γάρ ῥ' ἑκάεργος*. B.]
607. *πόλις δ' ἔμπλητο· παρὰ Ἀντιμάχῳ καὶ Ῥιανῷ πύλαι δ' ἔμπληντο*. A.
611. *σάωσαν· Ἀρίσταρχος εὐκτικῶς σαώσαι ἀντὶ τοῦ σαώσειεν*. A.

X.

2. *διχῶς ἀνεψύχοντο καὶ ἀπεψύχοντο· χαριεστέρα δὲ ἡ διὰ τοῦ ν*. A. Cf. B.
36. *οὕτως Ἀρίσταρχος ἑστήκει ἄνευ τοῦ ι*. A.
42. *Ἀρίσταρχος ἔδοιεν*. A. (*τινὲς ἔδοιντο γράφουσιν εὐκτικῶς*. B.)
[45. Cf. Φ 454 *τηλεδαπάων· τινὲς θηλυτεράων, διὰ τὸ Λῆμνον καὶ Ἴμβρον ὑπὸ θηλειῶν βασιλεύεσθαι· ἀλλ' οὐκ εἰς ταύτας μόνον ἐπωλοῦντο*. V.]

48. οὕτως Ἀρίσταρχος διὰ τοῦ τ τούς, ἄλλοι δὲ οὕς. A.

51. αἱ ἀπὸ πόλεων παιδὶ φίλῃ ἀντὶ τοῦ παιδὶ γέρων. A.

69. πυλαωρούς· Ἀρίσταρχος θυραωρούς, θυροφύλακας. A.

73. οὕτως Ἀρίσταρχος διὰ τῶν δύο η φανήῃ. A.

83. οὕτως διὰ τοῦ τ, εἴ ποτέ τοι. A.

85. ἑών· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἰών. A. Cf. B.

93. ἔνιαι δὲ τῶν κατὰ πόλεις διὰ τοῦ ν ὀρέστερον καὶ ἀντὶ τοῦ μένῃσι δοκεύῃ. A. ἔν τισι τῶν ἀπὸ πόλεων ὀρέστερον ἄνδρα δοκεύοι. A.

108. κέρδιον· αἱ κατὰ ἄνδρα κάλλιον. A.

109. κατακτείναντα· διχῶς, καὶ κατακτείναντι. A.

118. Ἀρίσταρχος ἀποδάσσεσθαι διὰ τοῦ ε. A. [V.]

121. οὕτως χωρὶς τοῦ δ ἀλλὰ τίη μοι. A.

129. 30. ὄττι τάχιστα· ἐν ἄλλοις ὄφρα τάχιστα. τοῦτο δὲ κτέ. A. Recepi, quod ab τοῦτο δέ Nicanoris scholion incipit.

197. ἀποστρέψασκε καὶ παραστρέψασκε, διχῶς. A.

198. οὕτως διὰ τοῦ ε πέτετο. A.

202. ὑπεξέφυγεν· Ἀρίσταρχος ὑπεξέφερεν. A. [ἵν' ᾖ ὅμοιον τῷ 'ὑπὲρ θανάτοιο φέροντα' (Il. *O* 628). V.]

251. δίον· γρ. καὶ δίες, καὶ οὕτως εἶχον αἱ χαριέστεραι. A.

[294. ἐκάλει· αἱ τῶν πόλεων ἐβόα. V.]

[301. πάλαι τότε· πάροιθέ γε. ἐν δὲ ταῖς εἰκαιοτέραις πάλαι τόγε. V.]

315. καλαί· αἱ πλείους δειναί. A.

324. φαίνετο δ' ᾗ κληῖδες· ἔν τισι τῶν ὑπομνημάτων φαῖνεν δὲ κληῖδες, ἵν' ᾖ τῶν τευχέων, τὰ τεύχη οὐκ ἐκάλυπτε τὴν λαυκανίην, ἀλλ' ἐποίει φαίνεσθαι. A. [φαίνετο δὲ κληῖδες· ἔν τισι φαῖνον δὲ ᾗ κληῖδεσιν. V.]

336. ἑλκήσουσ' αἰκῶς· οἱ περὶ Ἀντίμαχον ἐπὶ τὸ γνωριμώτερον ἑλκήσουσι κακῶς. A.

411. *Ἀρίσταρχος σμώχοιτο ἀντὶ τοῦ σμύχοιτο.* A.

416. *κηδόμενοί περ· οὕτως αἱ Ἀριστάρχου, καίπερ ὀδυνώμενοι καὶ αὐτοί.* A.

[430. *ἀδινοῦ· Ἀρίσταρχος ἀθρόου.* V. (?) Cf. Ψ 17.]

[431. *τί νυ βείομαι; οὕτως Ἀρίσταρχος, πῶς ζήσομαι; τὸ δὲ αἰνὰ τεκοῦσα ὡς τὸ δυσαριστοτόκεια. τινὲς δὲ παθοῦσα.* V. Cf. B.]

Ἀρίσταρχος διὰ τοῦ η βήομαι, βιώσομαι. A.

468. *αἱ Ἀριστάρχου βάλε δέσματα, αἱ δὲ κοιναὶ χέε.* A.

475. *ἄμπνυτο· διὰ τοῦ ε Ἀρίσταρχος ἔμπνυτο ἔμπνους ἐγένετο, καὶ ἐπὶ τοῦ Σαρπηδόνος 'αὖθις δ' ἐμπνύνθη'* (*E* 697). A.

478. *κατὰ δῶμα· αἱ κοινότεραι ἐνὶ οἴκῳ.* A.

491. *Ἀρίσταρχος οὐδετέρως παρειά.* A.

Ψ.

18. *οὕτως Ἀρίσταρχος σὺν τῷ σ ἐπ' ἀνδροφόνους.* A.

39. *Ἀρίσταρχος κέλευσαν, πληθυντικῶς.* A.

77. *ἔν τισι τῶν πολιτικῶν οὐ γὰρ ἔτι.* A. (*οὐ μὲν γάρ· γρ. οὐ γὰρ ἔτι.* A.)

81. *ἐν τῇ Ῥιανοῦ καὶ Ἀριστοφάνους εὐηφενέων διὰ τοῦ φ, εὖ τῷ ἀφένῳ χρωμένων, ὡς Κλέαρχος ἐν ταῖς γλώτταις.* A.

88. *ἀμφ' ἀστραγάλοισι χολωθείς· αἱ πλείους τῶν κατὰ ἄνδρα ἀμφ' ἀστραγάλῃσιν ἐρύσας* [*ὀρίσσας* V. an *ἐρίσσας*?] · *καὶ ἔστιν Ἰωνικώτερον. 'Ἀστραγάλαι δ' Ἔρωτός εἰσι μανίαι τε καὶ κυδοίμοιο'. Ἀνακρέων.* A.

106. *ὁ Ἀρίσταρχος ἐφεστήκει χωρὶς τοῦ ι.* A.

111. Didymus *κατὰ δὲ πολλὰ τῶν ἀντιγράφων οὐρῆας ὤτρυνεν ἔξω τοῦ τέ.* A.

117. *πολυπίδακος· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ πολυπιδάκου.* A.

120. *οὕτως διαπλήσσοντες διὰ τοῦ η αἱ Ἀριστάρχου ἀντὶ τοῦ διακύπτοντες, ἄλλοι δὲ διαπλίσσοντες διὰ τοῦ ι.* A.

135. Herodianus. Didymus *ἔν τισι δὲ καταείλυον τουτέστιν εἴλουν. Ἀρίσταρχος δὲ καταείνυσαν.* Aristonicus. A.

169. τὰ πολλὰ τῶν ὑπομνημάτων διὰ τοῦ ε δρετά. καὶ τάχα ἀπὸ τοῦ δέρειν. A. Cf. V.

198. χωρὶς δὲ τοῦ ν τὸ ὕλη. οἱ δὲ ὕλην τ' ἐσσεύοντο, ἀντὶ τοῦ ὁρμήσειεν οἱ ἄνεμοι καίειν τὴν ὕλην. AV. ἐν ἄλλῳ ὕλη τε σεύαιτο. οὕτως δὲ καὶ ἔξω τοῦ ν ὕλη. A.

206. ἐς γαῖαν· ἐς δῆμον, ὡς αἱ ἀπὸ τῶν πόλεων. A.

244. ἐν ἄλλῳ· αὐτὸς ἰών ἀντὶ τοῦ αὐτὸς ἐγών. A. Recepi, quod praecedit Aristonicus et perversitatem Alexandrini cuiusdam grammatici sapit.

[259. καὶ παρὰ Ἀριστοφάνει ἠθέτηται τοῦτο. V.]

273. διχῶς Ἀρίσταρχος δεδεγμένα καὶ δεδεχμένα. A. (V.)

287. ἄγερθεν· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἔγερθεν. A. ἄλλως. οὕτως ἔγερθεν διὰ τοῦ ε αἱ Ἀριστάρχου, οἷον ἠγέρθησαν, ἀνέστησαν, ὡς ἑξῆς 'καί ῥ' ἤμονες ἄνδρες ἀνέσταν'.

307. Ἀρίσταρχος δὲ ἑνικῶς ἐδίδαξεν, ἐπὶ τοῦ Ποσειδῶνος, ἵππειος γάρ. A. Aristonici adnotationem his verbis continuat Friedl. p. 331, qui nescio qua caussa impulsus ἑνικῶς proscripsit. Mihi contra ipsum illud ἑνικῶς ad Didymum nos ducere videtur. Cf. *B* 169 *Δ* 672 *M* 79 *N* 179.

317. ἐρεχθομένην· ἐρεθομένην, ὅ ἐστιν ἐρεθιζομένην, ὡς τὸ 'θυμὸν ἐρέχθων' (ε 83) ἀντὶ τοῦ ἐρεθίσας. ἢ ἐεργομένην ἀντὶ τοῦ συνεχομένην. A.

[331. ἤ τευ σῆμα βροτοῖο· Ἀρίσταρχος γράφει 'ἠὲ σκίρος ἔην· νῦν αὖ θέτο τέρματ' Ἀχιλλεύς' κτλ. V.]

361. δρόμους πληθυντικῶς Ἀρίσταρχος. A.

374. ἐφ' ἁλός· οὕτως Ἀρίσταρχος. αἱ δὲ πλείους ἀφ' ἁλός· καὶ μήποτε λόγον ἔχει. A.

414. διχῶς ἐφαμαρτεῖτον καὶ ..... A.

[417. διὰ τοῦ ἑτέρου δ τὸ ὑποδδείσαντες. V.]

[421. χῶρον ἅπαντα· Ἀριστοφάνης χῶα ἔνερθεν. V.]

422. τῇ· Ἀρίσταρχος χωρὶς τοῦ τ ᾗ. A.

455. οὕτως Ἰακῶς τέτυκτο ὁ Ἀρίσταρχος. A.

461. κεῖσε· Ζηνόδοτος καὶ Ἀριστοφάνης κεῖθι· καὶ ἔστιν ἀναλογώτερον. A.

463. οὕτως διὰ τοῦ η νῦν δ' οὔπῃ Ἀριστοφάνης. A.

464. αἱ Ἀριστάρχου *καπταίνετον*. A. Cf. V.

483. *νείκει ἄριστε*· Ἀρίσταρχος *νεῖκος ἄριστε*, ὡς 'εἶδος ἄριστε' (Γ 39). A.

[493. *κακοῖς*· ἄμεινον ἀντ' αὐτοῦ γράφειν *ἄναξ*· προεῖπε γὰρ χαλεποῖσιν. B.]

548. οὕτως διὰ τοῦ σ *φίλος* πᾶσαι εἶχον. A.

568. *χειρί* γρ. *χερσί*. ‖ ἡ δὲ διπλῆ . . . A.

604. οἱ δὲ περὶ Ἀντίμαχον *νόημα* γράφουσιν ἀντὶ τοῦ *νόον*. A.

622. *ἐνδύσεαι*· Ἀρίσταρχος *ἐσδύσεαι*. A. ἄλλως. οὕτως *ἐσδύσεαι* σχεδὸν ἅπασαι· οὐδέποτε γὰρ Ὅμηρος τῇ ἐν ἀντὶ τῆς εἰς κέχρηται. AB.

635. *πάλῃ*· Ἀρίσταρχος σὺν τῷ ν *πάλην*. A.

691. οὕτως ἔξω τοῦ ι *ἑστήκειν*. ἔστι δὲ Ἰωνικόν. A.

759. *ἔκφερ'*· παρὰ Ζηνοδότῳ *ἔκθορ'*. A.

[792. *ἐριδήσεσθαι* — ἐν δέ τισι τῶν ὑπομνημάτων γράφεται *ἐριζήσασθαι*. V.]

[806. Ἀριστοφάνης δὲ οὕτω γράφει 'ὁππότερός κεν πρόσθεν ἐπιγράψας χρόα καλὸν φθήῃ ἐπευξάμενος διά τ' ἔντεα καὶ φόνον ἀνδρῶν'. V.]

854. *ἧς ἄρ'*· ἐν ἄλλῳ ἧς γάρ· γράφεται καὶ *ὣς γάρ*. κατ' ἔνια δὲ *δῆσεν πόδα*. A.

870. 71. ἐν τῇ Μασσαλιωτικῇ 'σπερχόμενος δ' ἄρα Μηριόνης ἐπεθήκατ' ὀϊστὸν τόξῳ.' ἐν γὰρ πᾶσιν ἔχε (γὰρ χείρεσσιν ἔχεν V.) πάλαι, ὡς ἴθυνεν.' ἐν δὲ τῇ κατὰ Ἀντίμαχον οὕτως· 'σπ. δ' ἄ. Μ. ἐξείλετο τόξον χερσίν. (ἐξείρυσε Τεύκρου τόξον, χερσὶ δ' ὀϊστὸν ἔχεν πάλαι ὡς ἴθυνεν.' V.) ὁ μέντοι Ἀρίσταρχος διὰ τῶν ὑπομνημάτων ἐπειγόμενον βούλεται τὸν Μηριόνην ἐκσπάσαι τῆς τοῦ Τεύκρου χειρὸς τὸ τόξον. καὶ γὰρ κοινὸν τῶν ἀγωνιζομένων αὐτὸ εἶναι, ὥσπερ τὸν δίσκον. A.

879. οὕτως Ἀρίσταρχος διὰ τῶν δύο σ. ἡ δὲ Μασσαλιωτικὴ *λιάσθη*. A. [ὡς 'ὁ δὲ νόσφι λιασθείς' (Δ 80). V.]

Ω.

6—10. προηθετοῦντο δὲ καὶ παρὰ Ἀριστοφάνει. A.

[7. αἱ δημώδεις *καὶ πάθεν ἔργα*. V.]

20. 21. οὕτως *αἰγίδα χρυσείην* αἱ Ἀριστάρχου. περὶ

ὅλον αὐτὸν ἐκάλυπτε τὴν χρυσῆν αἰγίδα. καὶ μήποτε Ὁμηρικώτερον ‘τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω χρύσεον’ (Ξ 343). A.

[28. εἵνεκ’ ἄτης· οὕτως Ἀρίσταρχος. τὸ γὰρ ἕνεκα τοῦ ἀπολογουμένου ἐστίν. V.] Cf. tamen Lehrs. apud Friedlaend. Ariston. p. 341 schol. Eurip. Tro. 968 R.

30. ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν· παρ’ Ἀριστοφάνει καί τισι τῶν πολιτικῶν ἥ οἱ κεχαρισμένα δῶρ’ ὀνόμηνε· καὶ τάχα μᾶλλον οὕτως ἂν ἔχοι· ἀθετεῖ γὰρ Ἀρίσταρχος διὰ τὴν μαχλοσύνην τὸν στίχον. A.

33. γρ. οὔ νύ ποθ’ ὔμιν (cod. ὑμῖν). A. Sequitur Herodiani adnotatio.

53. Ἀρίσταρχος νεμεσσεθέωμεν διὰ τοῦ θε. A.

71. Friedlaenderus Aristonico, Duentzerus Zenodot. p. 2, 4 Didymo tribuit.

82. κῆρα φέρουσα· ἔνιαι τῶν κατὰ πόλεις πῆμα φέρουσα, ἄτοπον γὰρ ἐπ’ ἰχθύων κῆρα λέγειν. A.

85. ἐν τῇ κατὰ Ῥιανὸν ὅς τάχ’ ἔμελλεν. A.

97. εἰσαναβᾶσαι· ἡ Ἀριστάρχου ἐξαναβᾶσαι, καὶ αἱ πλείους. A.

109. ἡ δὲ Μασσαλιωτικὴ ὀτρύνουσιν. οὕτως καὶ ἡ Χία. A.

110. Ἀπολλόδωρος καὶ Ἀρητάδης καὶ Νεοτέλης καὶ Διονύσιος ὁ Θρᾷξ διὰ τοῦ τ τὴν πρόθεσιν γράφουσι καὶ δασύνουσι τὸ α, ἵνα ᾖ προσάπτω, ἀνατίθημι. οἱ δὲ χωρὶς τοῦ τ ἔγραψαν καὶ ἐψίλωσαν τὸ α, ἵνα ταὐτὸν ὑπάρχῃ τῷ προϊάλλω, οἷον δίδωμι, προσπεύδω. οὕτως δὲ καὶ Ζηνόδοτος καὶ Ἀρίσταρχος ἐν τοῖς πρὸς Κωμανόν. A.

125. οὕτως Ἀρίσταρχος ἑνικῶς ἐν κλισίῃ. A.

148. οὕτως διὰ τοῦ ν, οἷον. A.

[164. κόπρος — Ἀρίσταρχος σποδός κτέ. V.]

192. οὕτως Ἀρίσταρχος κεχάνδη διὰ τοῦ η, ἀντὶ τοῦ κέχανδε. ἡ δὲ Μασσαλιωτικὴ κεκεύθει. A. Ἀρίσταρχος κεχάνδει. A.

198. Ἀρίσταρχος ἄνωγεν ἔξω τοῦ ι. A.

200. καὶ ἀμείβετο· Ἀρίσταρχος καὶ ἀνήρετο. A.

214. οὕτως ἐπεὶ οὔ ἑ, ἐπεὶ οὐκ αὐτόν. αἱ δὲ κοιναὶ ἐπεὶ οὔτι. A.

215. *πρό·* οὕτως χωρὶς τοῦ σ. A.

241. Ἀρίσταρχος ἢ *ὀνόσασθ'*, ἐμέμψασθε καὶ ἐξεφαυλίσασθε. βούλεται δὲ λέγειν, ἐμοὶ συλλυπησόμενοι καὶ οὐχὶ ἕκαστος ἴδιον κακὸν νομίζει τὴν Ἕκτορος ἀπώλειαν. A.

253. *κατηφόνες* — οὕτως Ἀρίσταρχος, καὶ ἄμεινον. θηλυκῇ γὰρ προσηγορίᾳ ὀνειδίσαι τοὺς υἱοὺς ἠθέλησεν, οἱονεὶ κατήφειαι. Κράτης μέντοι *κατηφέες* γράφει. A.

269. οὐκ ἦν παρὰ Ζηνοδότῳ ὁ στίχος. A.

292. *ταχύν* — ἐν ἄλλῳ *ἐόν*. Recepi quod Nicanoris scholion adiungitur. Cf. 310.

[304. ἡ Μασσαλιωτικὴ *ταμίη μετὰ χερσὶν ἔχουσα*, διὰ τὸ μὴ εἰρῆσθαί νῦν συνήθως αὐτῷ ἐπὶ τῶν ὑδάτων, ἀλλ' ἐπὶ τοῦ σκεύους τὰ *χέρνιβα*· εἰ μὴ ἄρα ἑνικῶς ἐνθάδε γραπτέον *χέρνιβον ἀμφίπολος*. V.]

329. *πόλεος* γρ. *πόλιος*. A. Deinde Nicanor.

332. *προφανέντε*· ἐν τῇ Χίᾳ *καταβάντε*. A.

341. οὕτως διὰ τοῦ ο *φέρον*. A.

344. οὕτως Ἀρίσταρχος, *ἐθέλει* διὰ τοῦ ε. αἱ δὲ κοιναὶ διὰ τοῦ η ἐθέλῃ. A.

373. οὕτως διὰ τοῦ π *οὕτω πῃ*, ἐν δέ τισι διὰ τοῦ δ *οὕτως δή*. A.

486. Cf. schol. Odyss. α 413.

512. Ζηνόδοτος δὲ *στεναχή* διὰ τοῦ ε γράφει. ἐκπίπτει δὲ τὰ διὰ τοῦ ε ῥήματα ἐν τοῖς ὀνόμασιν εἰς τὸ ο, λέγω λόγος, μένω μονή, οὕτως στενάξαι στοναχή. A. Nisi ante Ζηνόδοτος excidit ὅτι et scholion Aristonici est.

518. οὕτως Ἀρίσταρχος *κάκ' ἄνσχεο*. A.

546. Ἀρίσταρχος σὺν τῷ ν *τῶν σέ*. A.

557. Cf. fragm. cert. sed. p. 112.

— οὗτος ὁ στίχος οὐχ εὑρέθη ἐν τῷ παλαιῷ. A.

565. ἔξω τοῦ ν ὁ *κέ* σύνδεσμος. A.

566. ἑνικῶς δὲ *ὀχῆα*. A. Cf. Ψ 307. ibid. *οὐδὲ γὰρ ἄν*· ἐν ἄλλῳ *οὔτε γὰρ ἄν*. Quod Didymeum videtur, cum Aristonici addatur observatio.

584. ἔν τισι *κότον οὐ κατερύκει*· ἄμεινον δὲ χόλον. A. Adde V. Ῥιανὸς *κόλον*, οἱ δὲ *κόπον* κτέ.

604. *υἱέες* γράφεται καὶ *υἱεῖς*· διχῶς οὖν. A.

636. *π α υ σ ώ μ ε θ α·* οὕτως Ἀρίσταρχος ἀντὶ τοῦ ἀναπαυσώμεθα. ἀπρεπὲς γὰρ τὸ λέγειν τὸν Πρίαμον *τ α ρ π ώ μ ε θ α*. A. (cf. AV.)

648. οὕτως Ἀρίσταρχος *σ τ ό ρ ε σ α ν* δυϊκῶς. B.

663. Ἀρίσταρχος *μ ά λ α γ ά ρ* καὶ οὐ *μ ά λ α δ έ*. A. [Δίδυμος *μ ά λ α γ ά ρ*, οὐ δέ. V.]

701. *ἑ σ τ α ό τ'*· Ἀρίσταρχος ἑστεῶτ'. A. [διχῶς δὲ ὁ ποιητής φησι. V.]

725. Ζηνόδοτος *ν έ ο ν ὤ λ ε ο*. A.

[753. Ἀντίμαχος *μ ι χ θ α λ ό ε σ σ α ν*. V.]

2.

Hypomnemata in Homeri Iliadem.

1.

Schol. Hom. Il. *A* 399 Ζεὺς παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν περισσῶς τῇ παῤῥησίᾳ ἐχρῆτο πολλὰ αὐθάδη διαπρασσόμενος. Ποσειδῶν δὲ καὶ Ἥρα καὶ Ἀπόλλων ἐβούλοντο αὐτὸν δήσαντες ὑποτάξαι. Θέτις δὲ ἀκούσασα παρὰ τοῦ πατρὸς Νηρέως (ἦν γὰρ μάντις) τὴν Διὸς ἐπιβουλὴν ἔσπευσε πρὸς αὐτὸν ἐπαγομένη Αἰγαιῶνα φόβητρον τῶν ἐπιβουλευομένων θεῶν. ἦν δὲ θαλάσσιος δαίμων οὗτος καὶ τὸν πατέρα Ποσειδῶνα κατεβράβευεν. ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος τὴν μὲν Ἥραν ἐν τοῖς καθ' αὐτοῦ δεσμοῖς ἐκρέμασε, Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι τὴν παρὰ Λαομέδοντι θητείαν ἐψηφίσατο. τῇ δὲ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν εἰς τὰ μετὰ ταῦτα ἐταμιεύσατο. ἱστορεῖ Δίδυμος. AD.

2.

(Schol. Hom. Il. *B* 519.) Steph. Byz. 106, 8 Meinek. *Ἀ π ο λ λ ω ν ί α·* Φωκίδος, ἣν Ὅμηρος Κυπάρισσόν φησι διὰ τὸ πολλὰς ἔχειν κυπαρίσσους, ὡς *Δ ί δ υ μ ο ς*. Cf. Serv. ad Vergil. Aen. III 64 vol. I p. 187 Lion.

3.

Steph. Byz. 250, 23 West. *Σ ή σ α μ ο ν* — Δίδυμος δὲ νῆσον αὐτήν φησιν. Spectat ad Hom. Il. *B* 853. Cf. Eustath. 362, 8 Apoll. Rhod. Arg. II 942.

4.

Ammon. de diff. verb. p. 89 ed. Valck. *λητουργεῖν* διὰ τοῦ η καὶ λιτουργεῖν διὰ τοῦ ι διαφέρει, φησὶ Δίδυμος ἐν ὑπομνήματι β Ἰλιάδος. τὸ μὲν γὰρ λητουργεῖν τὸ τῷ δήμῳ ὑπηρετεῖν. λῆτον γάρ φασι τὸ δημόσιον 'λήϊτον ἀμφεπένοντο', τὸ δὲ λιτουργεῖν κακὰ λέγειν.

Valck. p. 144 λειτουργεῖν διὰ τοῦ ει — λεῖτον emendatius scripsit, qui horum vocabulorum differentiam docte illustrat.

5.

Ammon. p. 147 χλαμὺς καὶ χλαῖνα διαφέρει, καθὸ διὰ πολλῶν ἀπέδειξε *Δίδυμος* ἐν ὑπομνήματι β Ἰλιάδος. ἡ μὲν χλαῖνα ἡρωϊκὸν φόρημα, χλαμὺς δὲ Μακεδονικὸν μετὰ ἑξακόσια ἔτη τῶν ἡρωϊκῶν ὀνομασθεῖσα. Σαπφὼ πρώτη γὰρ μέμνηται χλαμύδος. Διαφέρειν φησὶ καὶ τῷ σχήματι. ἡ μὲν γὰρ χλαῖνα τετράγωνον (φησὶν) ἱμάτιον, ἡ δὲ χλαμὺς εἰς τέλειον περὶ τὰ κάτω συνῆκται καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι. προσάγεται Ἀριστοτέλην, Φύλαρχον, Πολέμωνα, ὅτι πολὺ διαφέρουσιν.

Valcken. l. l. laudat Salmas. in Tertull. de pall. p. 111 Hemsterh. Poll. X 124 n. 58, quibus Prell. Polem. p. 149 addit Wyttenb. Plut. I p. 307 O. Mueller. Doriens. II p. 266 Archaeol. §. 337. Cfr. etiam A. Ruben. de re vest. II c. VII p. 162 sqq. — E commentariis igitur Didymeis fluxisse videntur scholl. AL ad Hom. Il. *Β* 183 χλαῖνα ἡ τετράγωνος, χλαμὺς δὲ ἡ εἰς ὀξὺ λήγουσα.

6.

Schol. B ad *Γ* 379. 80. Continetur hoc in scholio λύσις ἀπορήματος cuiusdam a Didymo profecta. Διδύμου φασὶν εἶναι κατὰ τὸ ἐγχείρημα (h. e. argumentum, rationes). ἐρρίφη γὰρ ἤδη, φησίν, τὸ ἔγχος 'ἠΐχθη *παλάμηφιν ἐτώσιον*.' Λύεται δὲ ἀπὸ τοῦ ἔθους· δύο γὰρ δόρατα φέρειν νενομισμένον ἦν, ὡς πολλαχοῦ λέγει· *πάλλων δύο δοῦρα κατὰ στρατὸν ᾤχετο πάντη* (Il. Ζ 104).

7.

Schol. AD ad *Δ* 475 *Ἴδηθεν*—*Δίδυμος* δὲ πάντα

τὰ ὄρη ἴδας λέγει ἀπὸ τοῦ δύνασθαι ἀπ' αὐτῶν πάντα (πλεῖστα D) καθορᾶν. Eustath. p. 500, 43 ἰστέον δὲ ὅτι κατὰ Δίδυμον Ἴδη οὐ μόνον ἡ Τρωϊκὴ, ἀλλὰ πᾶν ὄρος, ἐξ οὗ τὰ κύκλῳ ἐστὶν ἰδεῖν, ὡς καὶ Ἀχελῷος πᾶν ὕδωρ καὶ Ὠκεανός. Hesych. ἴδας· εἶδος καὶ πάντα τὰ ὑψηλά.

8.

Schol. V. ad *K* 428 ἀγκυλότοξοι· καὶ πῶς φησὶν (*Π* 287) 'ὃς Παίονας ἦγεν ἱπποκορυστάς', εἰ μὴ ἄρα περιδέξιοι ἦσαν, ὡς Τεῦκρος. Δίδυμος οὖν τοὺς τόξῳ καὶ ἀγκύλῃ χρωμένους ἀγκυλοτόξους εἴρηκεν.

9.

Steph. Byz. 7, 3 M. = 5, 21 W. Ἄβιοι — Δίδυμος δὲ Θρᾴκιον ἔθνος φησίν (? *N* 6).

10.

Steph. 12, 8 M. = 7, 37 W. ἀπὸ δὲ τοῦ Καβακησσὸς Δίδυμος οἴεται κατὰ συγκοπὴν Καβασσός. πόλις δὲ αὕτη τοῦ Ὀθρυονέως, περὶ ἧς βιβλίον ὅλον συνέγραψε. Cf. comment. III p. 12. Pertinet ad *N* 363.

11.

Bekk. anecdd. I 471, 19 (Bachm. anecdd. I 172, 10) ἄφλαστα· τὰ ἀκροστόλια. Ἀπολλόδωρος· ὁ δὲ Δίδυμος τὸ ἐπὶ τῆς πρύμνης εἰς ὕψος ἐκ κανονίων πλατέων ἐπικεκαμμένον. Fluxerunt haec e Pausania Atticista ap. Eustath. 1039, 37 laudato. — Respicitur fortasse Hom. Il. *O* 717 ἄφλαστον μετὰ χερσὶν ἔχων. Cf. schol. ad h. l. Poll. I 90 p. 21 Bekk. schol. ad Apoll. Rhod. I 1089, ubi laudatur Apollonius ἐν ταῖς λέξεσιν, et. m. 161, (177) 42 Tzetz. Lyc. 26 p. 11 Herod. lex. p. 604 ed. Frz. coll. Herod. IV 114. Hesych. ἄφλαστον· τὸ ἀκροστόλιον ἢ (Rank. Hesych. p. 135) τὸ ἄκρον τῆς πρύμνης ἀποτεταμένον [? ἐπικεκαμμένον] εἰς ὕψος.

12.

Schol. ad Il. *T* 81 πῶς κέν τις ἀκούσαι· ὁ Ἀρίσταρχος ἐλλείπειν φησὶ τὸ οὕτω χρώμενος· τὸ γὰρ λεγόμενον

τοιοῦτον εἶναι· ἐν δὲ πολλῶν ἀνδρῶν ὁμίλῳ πῶς ἄν τις οὕτως χρώμενος ἢ εἴποι ἢ πῶς οἱ ἀκούοντες ἀκούσειαν; οὕτως Δίδυμος.

13.

Schol. ad Il. Τ 90 τὴν δὲ διά ὁ μὲν Ἀσκαλωνίτης περισσὴν ἡγεῖται, ὁ δὲ Δίδυμος σημαίνειν τὸ διόλου, ὡς καὶ διαλείτης (al. διηλίτης), ὁ διόλου ἁμαρτάνων, ἢ δι' ἑαυτῆς πάντα τελεῖ. B.

14.

Schol. ad Il. Τ 116 ἄλοχον Σθενέλου· Δίδυμος παρατίθεται Φερεκύδην μὲν λέγοντα αὐτὴν τὴν Πέλοπος Ἀμφιβίαν. Ἡσίοδος δὲ Ἀρτιβίαν [Ἀντιβίαν V.] τὴν Ἀμφιδάμαντος ἀποφαίνεται. AV. Cf. tamen subsequens scholium, unde apparet sub Ἡσίοδος vitium latere.

15.

Schol. Hom. Il. Χ 126. 7 p. 592 Bekk. οὐκ ἔστι, φησίν, ἄντικρυς Ἀχιλλέως διηγεῖσθαι, ὁποίους ἂν παρθένοι καὶ ἠΐθεοι. οἱ γὰρ παλαιοὶ τὰ ἐκτιθέμενα βρέφη παρὰ δρυσὶν ἢ πέτραις εὑρίσκοντες ἐνόμιζον ἐκ τούτων γεγενῆσθαι. ἐκ τοιούτου δὲ ἐγένετο ἡ ὑπόληψις. || οἱ παλαιοὶ νομαδικῷ ἐχρῶντο τῷ βίῳ οἰκίας μηδέπω κεκτημένοι. αἱ οὖν γυναῖκες τίκτουσαι ἐν τοῖς ὄρεσιν ὑπὸ τὰ κοιλώματα τῶν πετρῶν καὶ δρυῶν . . . εὑρίσκοντες δέ τινες νομίζοντες ἐκεῖθεν γεγενῆσθαι ἀνέτρεφον. ἡ ἱστορία παρὰ Διδύμῳ. ABD. Cf. Odyss. τ 163 c. schol., schol. Platon. p. 414 Bekk. Unger. parad. Theb. p. 443 s. v. Odrysii.

16.

Schol. ad Il. Ω 640 Δίδυμός φησιν, ὅτι χόρτῳ ἀντὶ τειχίων ἐχρῶντο. V.

Haec sedecim e Didymi in Iliadem hypomnematis fragmenta supersunt, quibus auctoris nomen est appositum, sed his longe plura in scholiis Venetis latere non est quod moneamus. Equidem mihi dubium non est, quin loci ad unum omnes, quibus in fine additum legitur ἡ ἱστορία παρὰ τῷ δεῖνα, nec non ii, in quibus Aristarchi λέξεις commemorantur, Didymo nostro originem debeant.

3.

Commentarii in Odysseam exegetici et critici.

1.

Nicanor ad *β* 260 *ἰὼν ἐπὶ θινὶ θαλάσσης· ἐὰν κατὰ δοτικὴν γράφηται τὸ ΘΙΝΙ βραχέως* (Harl. *βραχὺ*) *διαστελοῦμεν ἐπὶ τὸ ἰών καὶ τὰ ἑξῆς συνάπτομεν. ἐὰν δὲ αἰτιατικὴ* (*ᾖ*), *ὥς φησι Δίδυμος γράφειν Ἀρίσταρχον, μετὰ τὸ θαλάσσης διαστελοῦμεν.* Q. Harl.

2.

Schol. Pal. Q. ad *δ* 797 *Δίδυμος δὲ Ἀμεράκιν φησὶ προσαγορεύεσθαι τὴν Πηνελόπην ἢ Ἀναρκίαν· Ναυπλίου δὲ ῥίψαντος αὐτὴν εἰς θάλασσαν διὰ ποινὴν Παλαμήδους ὑπὸ πηνελόπων αὐτὴν σωθεῖσαν οὕτως ὀνομασθῆναι. Ἐν δὲ ἐπιμερισμῷ τοῦ ‘Μῆνιν ἄειδε θεά’ Πηνελόπην αὐτήν φησι λελέχθαι παρὰ τὸ πένεσθαι τὸ λῶπος.* Eustath. 1422, 7 = 62, 45. Tzetz. Lyc. 792.

Ap. Eustath. ad *α* 329 est *Ἀμειράκην ἢ Ἀρνακίαν*, ap. Tzetzen *Ἀρναίαν*. — Q. *οὐ γὰρ ἐπὶ μερισμῷ*. Ad haec Buttmannus p. 171 adnotat ‘Mediol. e Q. *φασί*; in Palat. incertum *φησί* an *φασί*. Illud praetuli, ut Didymus hoc etiam tradiderit et quidem in libro, cui titulus *ἐπιμερισμὸς τοῦ μῆνιν ἄειδε θεά* coll. Boisson. praef. ad Herod. epim. p. 9.’ — Sed eiusmodi librum suo iure sibilo explosit Lehrsius in Herodian. p. 427 (coll. 425*), qui vellem nonnulla disputasset etiam de et. m. 493, 22 cod. Havn. 1971 *Ἡρῳδιανὸς ἐν δευτέροις αὐτοῦ ἐπιμερισμοῖς.* — De Penelopes fabula dixi in comment. IV, 1 p. 5.

3.

λ 509 *ἐκ Σκύρου· Σκύρος ἐστὶ πόλις Δολοπίας.* Q. Vind. 133 vulg. Buttm. Add. p. 577 conferri iubet et. m., ubi *ξ* *Ὀδυσσείας* legitur. ‘Quod nisi obiter in comment. ad *ξ* observavit Didymus corrigendum ap. etym. *λ*.’ Etiam anonymus ad et. Gud. p. 1033 St. adnotat, hodie non exstare hoc scholion in libro laudato. Locus etymologi est

p. 653, 26 St. *Σκῦρος·* ἡ νῆσος, ἐπεὶ ἀργιλώδης ἐστὶ καὶ λευκόγεως. σκύρος γὰρ ἡ λατύπη. *Δίδυμος* λέγει ἐν ὑπομνήματι ξ Ὀδυσσείας· αἱ ἀργιλώδεις φαῦλαι εἰς καρπῶν ἀνέσεις, μηλοβότοι δέ, καθάπερ Σκῦρος καὶ αἱ λεγόμεναι Ἀργινοῦσαι. (Ὦρος). Hesych. *Σκῦρος·* πόλις ἢ νῆσος ἢ λατύπη. Σκῦρος ἀργιλώδης (sic Guyet., cod. ἀργιολίδης)· Λυσίμαχος τὴν λατύπην. Lysimachum intellego Coum, quo de Erotian. p. 10. 104. 360 Frz.; νόστων scriptorem intellegit Stiehlius in Philol. IV 1 p. 106.

4.

Steph. Byz. 116, 5 M = 52, 35 W. *Δίδυμος* δὲ ὑπομνηματίζων τὴν ν (libb. μ) τῆς Ὀδυσσείας φησίν· Ἀρεθοῦσαι δέ εἰσιν ὀκτώ (εἰσιν η Rehd. εἰσὶ νη V. 'fort. εἰσι Δ' Meinek.).

In schol. ad h. l. quattuor tantum Arethusae dinumerantur, quibuscum consentiunt Aristarchi glossulae ap. Io. Tortell. Aretin. orthogr. fol. 39 col. 2 (Venet. 1501) 'Sane in glossulis Aristarchi super XIII odissea Homeri librum comperi quattuor in diversis mundi partibus fuisse Arethusios fontes, unum apud Syracusas, alterum apud Smyrnam, tertium in Chalcide et quartum in Ithaca.' Neque plures novit schol. Theocr. α 117 p. 843 Kiessl. Eustath. 1746, 58 Hesych. *Ἀρέθουσα·* κρήνη ἐν Ἰθάκῃ καὶ ἐν Σικελίᾳ, ἐν ᾗ ὁ ἐν τῇ Ἤλιδι ῥέων ποταμὸς ἀργύριον κομίζειν νενόμισται. Idem *Κύπρα·* ἡ ἐν Σικελίᾳ κρήνη Ἀρέθουσα. Sic enim Phoenices Arethusam appellabant, teste Curtio in M. Pinderi et I. Friedlaenderi Beiträge für ältere Münzkunde I p. 234, ubi de Arethusae typo in numis Cilicum satraparum agit. Cf. Ulrichs in Mus. Rhen. V p. 482. 3 an. 1846/47.

5.

Schol. ad ξ 6 Buttmannus p. 577, 8 ex et. m. p. 603 (664) 50 adauget his: περίσκεπτοι (α 426) '*περισκέπτῳ ἐνὶ χώρῳ*'· — τῷ ὑψηλῷ, ὅθεν ἐστὶ περισκέψασθαι διὰ τὸ ὕψος καὶ ἀπιδεῖν. ἢ ὅθεν ἐστὶ τὸ πέριξ ἰδεῖν. ἢ περίσκεπτον, ὅ τις ἂν κατανοῶν θαυμάσειεν, οἷον· ὄφρα γέ–

Schol. Ol. *A* 33 *ἱππιοχάρμαν δὲ τὸν τῇ ἱππικῇ χαίροντά φησι.* (Vrat. A, recentt.) *καλῶς δὲ τὸ ἐπίθετον τῷ βασιλεῖ διὰ τὸ ἱπποτροφεῖν, ἵνα δείξῃ, ὅτι οὐ τύχης γέγονεν ἔργον τὸ τῷ Φερενίκῳ χρήσασθαι, ἀλλ' ἐπιστήμης καὶ τῆς περὶ τὸ πρᾶγμα ἐπιμελείας. Ἔνιοι δὲ ἀναγιγνώσκουσι παροξύνοντες τὴν παραλήγουσαν συλλαβὴν τῶν Συρακουσίων* (cod. Rehd. *τοῦ συῤῥακουσίων*) *καὶ τὴν ἐσχάτην τοῦ ἱππιοχάρμαν περισπῶσιν, ἵν' ᾖ, τῶν Συρακουσίων ἱππιοχαρμῶν* (ut Palat. C). *τὸν γὰρ Ἱέρωνα οὐκ εἶναι Συρακούσιον, ὅτε ἐνίκα· κτίσαντα γὰρ αὐτὸν τὴν Κατάνην καὶ προσαγορεύσαντα Αἴτναν ἀπ' αὐτῆς Αἰτναῖον λέγουσιν αὐτόν. εὐήθεις φησὶ Δίδυμος τούτους. τότε γὰρ ὁ Ἱέρων ἦν Συρακούσιος καὶ οὐδὲ ἦν Αἰτναῖος, ὥς φησιν Ἀπολλόδωρος. ὁ δὲ Ἀριστόνικος ἀξιοπίστως Αἰτναῖον ὄντα Συρακούσιον ὀνομάζεσθαι.* Vet.

Vid. Boeckh. expl. Pindar. p. 106. — Cod. Rehdig., e

quo C. E. Ch. Schneiderus scholia denuo edidit Vrat. 1843, Didymi memoriam non servavit.

3.

Ol. B 29 *ζητεῖται, δι' ἣν αἰτίαν εὐξάμενος τῷ Θήρωνι τὰ κάλλιστα κατάπαυσιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία. καὶ ὁ μὲν Ἀρίσταρχός φησι, διὰ τὸ κεκμηκέναι τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ῥόδον, τῶν πραγμάτων στασιαζομένων, καὶ οὕτω τὴν εἰς τὴν Σικελίαν μετοικεσίαν στειλαμένων. ὁ δὲ Δίδυμος τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται μάρτυρα Τίμαιον τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας* (fr. 19 vol. I p. 240 ed. Muell.) *προφερόμενος. ἡ δὲ ἱστορία οὕτως ἔχει. Θήρων ὁ τῶν Ἀκραγαντίνων βασιλεὺς Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα ἐν Σικελίᾳ. τοῦ δὲ Γέλωνος τελευτᾶν τὸν βίον μέλλοντος Πολύζηλος ἀδελφὸς τὴν στρατηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεται κατὰ τὰς Γέλωνος τοῦ ἀδελφοῦ προστάξεις, ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος εἰς τὸν Πολύζηλον μετατεθεῖσθαι. λαμπρῷ δὲ αὐτῷ καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν Ἱέρων φθονήσας ὁ ἀδελφὸς καὶ πρόφασιν σκηψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον ἀπελαύνει τῆς πατρίδος. ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλεμον ὁ Πολύζηλος. ὁ δὲ μὴ φέρων γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμοῦ. καὶ οὕτω τὸν Θήρωνα ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ συῤῥῆξαι πρὸς Ἱέρωνα πόλεμον παρὰ Γέλλᾳ, τῷ Σικελιωτικῷ ποταμῷ, οὗ Καλλίμαχος μέμνηται· οἱ δὲ Γέλᾳ ποταμῷ ἐπικείμενον ἄστυ* (fr. I p. 557). *μή γε μὴν εἰς βλάβην, μηδὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον. φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιτυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν. Τούτοις οἰκείως τοῖς φθάσασιν εὔχεσθαι τῷ Διΐ φησι τὸν Πίνδαρον ὁ Δίδυμος, ὥστε λοιπὸν αὐτοῖς εἰρηναῖον εἶναι τὸν βίον. κτέ.* Quae Boeckhius p. 65 ut sensu cassa nec quidquam novi continentia omisit, Schneiderus l. c. p. 18 n. 7 e laciniis codicis supplevit *κηδεστὴν οὖν ὄντα, φησὶν ὁ Δίδυμος, τὸν Θήρωνα τῷ Πολυζήλῳ παραμυθεῖται ὁ Πίνδαρος. γράφει*

κατὰ λέξιν οὕτως· Πολυζήλῳ τοίνυν τῷ τοῦ Ἱέρωνος ἀδελφῷ, Γέλωνος μετὰ τῆς στρατηγίας καὶ τὴν γυναῖκα Δημαρέτην κατὰ τὴν τελευτὴν ἐγγυήσαντος, ὥστε, ἅπερ εἶχε Γέλων πρὸς Θήρωνος, ταῦτα εἶχεν ὁ Πολύζηλος πρὸς Γέλωνος, γαμβρῶν οὖν κτέ.

4.

ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Schol. Ol. *B* 82 p. 72 Bckh. *ἔστι μὲν καὶ οὕτω διαστεῖλαι· ὅθεν σπέρματος ἔχοντι ῥίζαν, εἶτα ἀπ' ἄλλης ἀρχῆς· πρέπει τὸν Αἰνησιδήμου.* ὃ (cod. *ἥν*, sc. *διαστολήν*, ut Schneiderus adnotat; possis *ᾗ*) *καὶ Δίδυμος ἀποδέχεται. Ἀρίσταρχος δὲ οὕτως· ὅθεν σπέρματος ἔχοντα* (sic Th. Bergkius PLG p. 23 ed. II, Boeckh. *ἔχοντι*, cod., qui voluisse videtur *ἔχοντ*, exhibet *ἔχον*) *ῥίζαν τὸν Αἰνησιδάμου. ὡς τῶν ἴσων εἶναι τὸ* (cod. *τῷ*) *'ἀφ' ὧν ἔχοντι τὸ σπέρμα' τῷ 'Αἰνησιδάμου υἱῷ πρέπει λυρῶν καὶ ἐγκωμίων τυγχάνειν.' γίνεται δέ, φησὶν ὁ Δίδυμος, κατὰ τὴν ἐκφορὰν ταύτην παρέλκον τὸ 'τυγχανέμεν.'*

Itaque Didymus vulgatam lectionem codicum tuebatur contra Aristarchi lectionem *ἔχοντα* a Bergkio receptam. — Vide etiam Tych. Mommsen. in Mus. Rh. N. F. IV p. 549 et Schneiderum l. c. p. 22 n. 8.

5.

πόσις ἁπάντων Ῥέας ὑπέρτατος ἐχοίσας θρόνον

Schol. Ol. *B* 140 p. 81 *ὁ μὲν Ἀρίσταρχος πόσιος γράφει ὁ πάντων, καὶ τὸν Δία ἀκούει συμπότην εἶναι τοῦ Ῥαδαμάνθυος. ὁ δὲ Δίδυμος ἐπὶ τοῦ Κρόνου καθιστᾷ τὸν λόγον* (sic Gerhard., cod. *κρόνον*)· *ὅντινα Ῥαδάμανθυν ὁ πατὴρ πάντων ὁ Κρόνος, ὁ τῆς Γῆς παῖς, ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἐχούσης θρόνον Ῥέας ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον.* Schneiderus l. c. p. 26 nil nisi hoc protraxit *καθιστᾷ τὸν κρόνὸν ὀνομάσας* (fort. *ὃν ὁ μέγας*) *πατὴρ πάντων ὁ κρόνος. ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον.*

Fere, ut Didymus, locum graviter corruptum restituit Bergkius p. 24 ed. 2 ὃν πατὴρ ἔχει παΐς ὁ Γᾶς ἑτοῖμον πάρεδρον, πόσις ἁπάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον, eiecto αὐτῷ glossemate manifesto: nisi quod Didymus ὁ πάντων arripiens hyperbato non ferendo ad πατήρ (h. e. Saturnus, Plat. Cratyl. 404 A) retulit et fortasse Κρόνος ὁ Γᾶς legit. Aristarcheam vero lectionem idem Bergkius fuisse putat ὃν πατὴρ ἔχει . . . . πάρεδρον πόσιος ὁ πάντων Ῥέας ὕπατον ἐχοίσας παῖς θρόνον vel ὃν πατὴρ πάντων ἔχει ἑτοῖμον αὐτῷ πάρεδρον πόσιος, ὧν παῖς Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον (cf. Ed. Gerhard. ap. Boeckh. p. 81). Ac iure merito Bergkius αὐτῷ proscripsit, ΠΑΙϹ vero, quod similitudine subsequentis vocabuli ΓΑϹ facillime pessum dari poterat, emendandum in γόνος ὁ Γᾶς esse arbitror, ut vulgata lectio Κρόνος explicatior fiat. Fac, ut verbis γόνος ὁ γᾶς, a Didymo verbis ὁ τῆς Γῆς παῖς expressis, superscriptum fuerit Κρόνος, vides interpretamentum hoc facillime pro varia lectione accipi potuisse, praesertim cum non multum discreparent γόνος et Κρόνος.

6.

Ol. Γ inscr. p. 91 ζητεῖται, διὰ τί μὴ Διΐ μᾶλλον οὗτος ηὔξατο, ᾧ οὗτος ὁ ἀγὼν ἀνάκειται, ἢ Ἡρακλεῖ τῷ καταβολεῖ, ἀλλὰ Διοσκούροις; φαμὲν οὖν πρῶτον, ὅτι πρὸς τὸ παρόν εἰσιν αὐτοὶ οἱ διοικοῦντες τὸν ἀγῶνα, ἔπειτα ὅ τε Ζεὺς καὶ Ἡρακλῆς. ὁ δὲ Ἀρίσταρχός φησι παρὰ τοῖς Ἀκραγαντίνοις διὰ τιμῆς εἶναι τοὺς Διοσκούρους καὶ πατρίῳ ἔθει καὶ νῦν αὐτοὺς χρῆσθαι. ὁ δὲ Δίδυμος ἱστορικώτερόν φησι διὰ τὸ τὸν Θήρωνα ἄνωθεν Ἀργεῖον εἶναι. τιμῶνται δὲ κατὰ τὸ Ἄργος καὶ τὴν Πελοπόννησον οἱ Διόσκουροι. Vet. schol. § Ex cod. Vrat. A accessit ζητεῖται, τί δήποτε ὁ Πίνδαρος Ὀλυμπιακὸν ὕμνον γράφων εὔχεται τοῖς Διοσκούροις προσηνεῖς τῇ ᾠδῇ γενέσθαι. ἐχρῆν γὰρ ἄρα Ἡρακλέα τὸν διαθέντα τὸν ἀγῶνα κατακαλεῖσθαι. Ἀρίσταρχος μὲν οὖν τὴν ἀπορίαν διαλύων τοὺς θεοὺς τούτους σφόδρα ἐν Ἀκράγαντί φησι τιμᾶσθαι. οἱ δέ φασι θεοξενίων ὄντων καὶ κεκλημένων τῶν Διοσκούρων, εἰς τὰ θεοξένια τὸν Θήρωνα νικῆσαι, ᾧ

συγχρησάμενον τὸν Πίνδαρον εὔχεσθαι τοῖς Διοσκούροις. οἱ δέ, ὅτι Ἡρακλῆς ἀποθεούμενος τούτοις ἐπέτρεψε τὸν ἀγῶνα, ὡς καὶ αὐτὸς ὁ Πίνδαρός φησι. τῇ Ἀρισταρχείῳ ἀποδόσει ὁ Δίδυμος μᾶλλον προστίθεται.

Cf. Boeckh. explic. Pind. p. 135. 136.

7.

Ol. *Γ* 54 *Ὀρθωσίᾳ, τῇ Ἀρτέμιδι. περὶ τῆς Ἀρτέμιδος Ἀπολλόδωρος γράφει. Ὀρθωσία δέ, ὅτι ὀρθοῖ εἰς σωτηρίαν, ἢ ὀρθοῖ τοὺς γενομένους. καὶ ἐν Ἀθήναις ἵδρυται, τὸ ἱερὸν δέ ἐστιν ἐν Κεραμεικῷ. καὶ παρ' Ἠλείοις Ὀρθωσίας Ἀρτέμιδος ἱερόν, ὥς φησι Δίδυμος.* Vrat. A.

Cf. Hesych. s. vv. *Ὀρθία. Ὀρθωσία* Xenoph. Lac. 2, 10 Paus. III 16 Sext. Emp. hypoth. Pyrrh. III 24 Tzetz. Lycoph. 1331 Meurs. Gr. fer. p. 87.

8.

Ol. *Ε* 20 p. 123 Bckh. *ὁ Ἵππαρις λέγεται τὰς ῥύσεις τῶν ὑδάτων ἔχειν οὐχ ὁμοίως, ἀλλὰ τὴν μὲν γλυκεῖαν, τὴν δὲ πικράν, ὅπερ κρύπτων ὁ ποιητὴς σεμνοὺς ὀχετούς λέγει. Ἵππαρις δὲ ποταμὸς Σικελίας.*

Φήσω καὶ Καμάριναν, ἵν' Ἵππαρις ἀγκύλον ἕρπει. Ἀρίσταρχος παριέναι φησὶ τὸν Ἵππαριν τὴν πόλιν καὶ προσχέοντα (cod. *προέχων* ..) *συναναπλάσσειν αὐτῇ γῆν. Τοῦτο δέ φησιν ὁ Δίδυμος ἀμάρτυρον εἶναι. οὐ γὰρ ἱστορεῖται περὶ τὸν Ἵππαριν καὶ τὴν Καμάριναν τοῦτο γενόμενον. Βέλτιον οὖν οὕτω τινές· ἐπειδὴ ἐξ ὑπογυίου συνῴκισται ἡ Καμάρινα, καθὰ καὶ νέοικον αὐτὴν προσηγόρευσεν, γειτνιᾷ δὲ Ἵππαρις αὐτῇ, κατὰ τοῦτο φάναι, ἐπὶ τοῦ συνοικισμοῦ κολλᾶσθαι ὑπ' αὐτοῦ σταδίων θαλάμων ὑψίγυιον* (cod. *ὑψίπυργον*, quod Bergkius non debebat pro lectionis varietate habere) *ἄλσος. ἐπεὶ τὰ* (cod. *ἔπειτα*) *ἐπιτήδεια πρὸς τὴν οἰκοδομὴν διὰ τοῦ κατάπλου προσεκομίζετο* (cod. *προεκ.*), *ὥστε ποιεῖν σταδίους θαλάμους.* Sic 'reliquiae docti olim scholii ex Vrat. A', quibus gemina fere profert alter scholiasta apud Boeckhium p. 122. Didymi explicationem amplexi sunt Libanius II p. 386 B et Boeckhius expll. Pind. p. 149.

9.

Ol. ϛ 55 *ἄνασσε Φαισάνᾳ· Δίδυμός φησιν, ὅτι πάντες οἱ ὑπομνηματισάμενοι Φαισάναν φασὶν εἶναι τῆς Ἀρκαδίας πόλιν. αὐτὸς δέ φησιν εἶναι τῆς Ἠλιαίας καὶ παρατίθεται Ἴστρον ἱστοροῦντα ἐν τῇ πέμπτῃ τῶν Ἠλιακῶν. ἤτοι οὖν Πίνδαρος ψεύδεται, ἢ διὰ τὸ τὴν Πίσαν ὑπὸ τοῖς Ἀρκάσι ποτὲ γενέσθαι βασιλεύειν φησὶ τῆς Φαισάνης.* Vrat. A. Vilioris pretii, quamquam simillimum, scholion est vetus alterum. Lites veterum interpretum componit Boeckhius expl. Pind. p. 157 Curtius Peloponn. I p. 340.

10.

ib. 115 *σεμνὸν θάλος Ἀλκαΐδᾶν· Δίδυμός φησι μὴ σώζεσθαι τὸν λόγον· τὸν γὰρ Ἡρακλέα θάλος εἶπεν Ἀλκαΐδᾶν ἀπὸ Ἀμφιτρύωνος, ὃς ἦν Ἀλκαίου παῖς. ἔθος δὲ τῷ Πινδάρῳ κατὰ τοῦ ἑνὸς τάσσειν τὸ πληθυντικόν.* Vrat. A. 'Conicias delendum esse *μή* ante verbum *σώζεσθαι.*' Boeckhius p. 146. Non accedo.

10[b].

ib. 158 *σκάπτῳ· Ἀρίσταρχος· τοῖς κατὰ τὸν χρόνον εἰπεῖν, ἐπικελεύων τῶν τε Συρακουσῶν μεμνῆσθαι καὶ τῆς Ὀρτυγίας. αὕτη δέ ἐστι προσεχὴς ταῖς Συρακούσαις νῆσος καὶ ἀχώματος. ὁ δὲ . . . . διὰ τὸν Ἱέρωνα, ἐπεὶ ἄνωθεν ἐκ προγόνων ἱεροφάντης ταῖν θεοῖν ἀποδέδεικται. τὰ προκείμενά φησιν ὁ . . . . καὶ παρατίθεται τὰ Φιλίστου καὶ τὰ Τιμαίου.* 'Ubi lacunam posui, in codice est *Πίνδαρος*. Fuit, ut credo, *Δίδυμος*.' Boeckhius p. 153 Mueller. fr. hist. Gr. vol. I p. 215 fr. 91.

11.

Schol. Ol. Ζ 24 *τρίπολιν νᾶσον· τὴν Ῥόδον — Δίδυμος δέ φησι καὶ τετάρτην εἶναι πόλιν τὴν νῦν Ἀχαιῶν καλουμένην.* Vrat. A. Cf. Liv. XXXII 23. Plin. h. n. V 36 tres tantum urbes cognitas habet.

12.

ib. 153 p. 181 *Πολέμων ἐν τῷ περὶ τῶν Θήβησιν*

Ἡρακλείων φησὶ χαλκὸν τὸ ἆθλον εἶναι τοῖς ἐν Ἀρκαδίᾳ Λυκαίοις, ὥστε ἀπὸ κοινοῦ τὰ ἔργα καὶ τὸν χαλκὸν ληπτέον, ὅτε φησὶν ὁ Πίνδαρος· ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν, τά τε ἐν Ἀρκαδίᾳ ἔργα Θήβαις. δίδοται γὰρ ἐν ταύταις τρίποδες χαλκοῦς. Πολλοὶ δ' ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ Λύκαια Κόρεια Ἀλεαῖα Ἕρμαια· ἐν δὲ Θήβαις τὰ Ἡράκλεια, τὰ δὲ αὐτὰ καὶ Ἰολάεια καλεῖται· ἐν δὲ Βοιωτίᾳ ἐν μὲν Θεσπειαῖς Ἐρώτια, ἐν δὲ ταῖς Πλαταιαῖς τὰ Ἐλευθέρια. ταῦτα Ἀριστόνικος. ὁ δὲ Δίδυμός φησι (προστίθησι?) καὶ Ἀμφιαράια ἐν Ὠρωπῷ καὶ Δήλια ἐπὶ Δηλίῳ καὶ Τροφώνια ἐν Λεβαδείᾳ. Vrat. A.

Illustrat partim L. Preller. Polem. p. 53 sqq. De Alea urbe diisque ibi cultis v. Curtium Pelop. I 218 n.; de Coreis ab Hermaeis fortasse non distinguendis eundem p. 296 coll. p. 336, 8; de Lycaeis Boeckhium expl. Pind. p. 175. Simul ex hoc loco patet Aristonicum in Pindari epinicia ante Didymum commentatum esse (Boeckh. praef. scholl. p. XLI), quem scimus in Homericis operibus Didymo usum esse. Itaque alter alteri suppar vixit.

13.

ib. 159 *νώτοισιν Ἀταβυρίου· — Δίδυμος δέ φησιν εἶναι ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς Τίμαιός* (fr. 3 vol. I p. 194 Muell.) *φησι. καλεῖται δὲ καὶ ὁ Ἀταβύριος.* Boeckh. in expl. Pind. p. 177 (nott. 390) conferri iubet Meurs. Rhod. I 8 Goeller. hist. Syrac. p. 294. Cf. Steph. Byz. 141 M. Apollod. III 2, 1 Diod. V 59 Hesych. s. v. Tzetz. Chil. IV 390 Lactant. Inst. I 22 Olshausen. in Mus. Rhen. N. F. 1853 p. 323. E Lactantio vero colligas Didymum ad h. l. longius excurrisse, quam nostrorum scholiorum conditio prodit.

14.

Verba Lactantii p. 130 LB ed. Gall. haec sunt: *Didymus in libris ἐξηγήσεως Πινδαρικῆς ait, Melissea Cretensium regem primum Diis sacrificasse; ac ritus novos sacrorumque pompas introduxisse. Huius duas fuisse filias, Amaltheam et Melissam, quae Iovem puerum caprina lacte ac*

melle nutrierunt, unde poetica illa fabula originem sumpsit, advolasse apes, atque os pueri, melle complesse. Melissam vero a patre primam sacerdotem Matri magnae constitutam, unde adhuc eiusdem Matris antistites Melissae nuncupantur. Historia vero sacra (sc. Euhemeri) *testatur* et q. s. *Sic constituta sunt templa Iovi Atabyrio, Iovi Labradeo. Atabyrius enim et Labradeus hospites eius atque adiutores in bello fuerunt. Item Iovi Lapersio*, (cod. Laprio, Gyrald. Betulei. coni. Elaphro, cf. Curt. Peloponn. vol. II p. 324 n. 62) *Iovi Molioni, Iovi Cassio et quae sunt in eundem modum* et q. s. *Sive igitur a Melisseo, sic ut Didymus, colendorum Deorum ritus effluxit, sive ab ipso quoque Iove, ut Euhemerus tradit, de tempore tamen constat, quando Dii coli coeperint.*

De Melissa et Melisso dixit Lobeck. in Aglaoph. p. 50. 514. 817. 989. — Boeckh. praef. p. XVIII locum ad Pyth. IV 104 refert.

15.

Ol. *H* inscr. p. 187 *γέγραπται ὁ ἐπινίκιος προηγουμένως τῷ Ἀλκιμέδοντι παιδὶ παλαιστῇ νικήσαντι τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα, μέμνηται δὲ ὁ Πίνδαρος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ· Τιμοσθένους Νέμεα νικήσαντος καὶ τοῦ ἀλείπτου αὐτοῦ Μελησίου, ὥς τινες καὶ παγκρατιαστοῦ. τοῖς γὰρ τρισί, φησὶν ὁ Δίδυμος, μίαν ᾠδὴν γέγραφε.*

16.

Ol. *Θ* 34 p. 212 *μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς· — ὁ δὲ Δίδυμος ἀντὶ τοῦ μαλακαῖς. καὶ γὰρ ἑτέρωθι μαλακοφώνους τὰς ᾠδάς φησιν* (Isth. II 8). Vrat. A. Male, ut adiectum *ἐπιφλέγων* docet.

17.

ibid. 43 p. 213 *ἰδίως κἀνταῦθα ὁ Πίνδαρος τὸν Ἡρακλέα φησὶ τοῖς τρισὶ πολεμῆσαι θεοῖς. δεδόσθω γὰρ αὐτῷ, φησὶν ὁ Δίδυμος, περὶ τὴν ὑπὸ τῷ Νέστορι Πύλον συστῆναι τὸν πόλεμον, Ὁμήρου* (*E* 397) *τὴν ἐν Ἅιδου πύλην νεκύων εἰπόντος· ἐν πύλῳ, ἐν νεκύεσσι βαλών. εἴη δ' ἂν νῦν ὁ Πίνδαρος τὰ καὶ τόποις καὶ χρόνοις διεστῶτα εἰς ἕνα καιρὸν ἄγων ἕνεκα τοῦ μειζόνως ἢ ὡς ἔσχε ταῖς*

ἀληθείαις τὸν Ἡρακλέα ἔχειν ἐπαινεῖν. Ἀπόλλωνι μὲν γὰρ ὁ Ἡρακλῆς ἐν Πυθοῖ μάχεται περὶ τοῦ τρίποδος οὐκ ἀμύνων τῇ Πύλῳ, τῷ Ἅιδῃ δέ, ὅτι τὸν Κέρβερον ἀνήγαγε, Ποσειδῶνι δὲ ἀμύνοντι Πύλῳ.

Hinc scholia Hom. Il. *E* 397 suppleri possunt. Nam genuina Didymi scholia ad v. 336—365 Villoisone teste perierunt. Didymus igitur cum Aristarcho *ἐν πύλῳ* legit, quod iam animadverterunt scholl. BL., ab Homeri et communi Graecorum usu alienum. Cf. Il. *Π* 810 *E* 646 *I* 312 *Ψ* 71 Od. *ξ* 156 Lobeck. paralip. p. 178. Recte *ἐν Πύλῳ* Iustin. in cohort. p. 3 (Colon. 1686) Tzetz. ad Lyc. p. 351 scholl. AD. Il. *Λ* 690 interpr. Gr. ap. Bekk. ac praeferunt *ἐν Πύλῳ* scholl. L. V. D. Eustath. p. 563, 27 Thiersch. ad Pind. Ol. IX 32 O. Mueller. Doriens. I p. 447 ed. alt. Gross. Vindic. Hom. I p. 74 Iacob. Mythol. enchir. p. 360 Heyn. Both. Orcum ab Hercule Pyliorum bello vulneratum norunt Apollod. bibl. II 7, 3 Pausan. VI 25, 3 schol. AD. Il. *Λ* 690 Senec. Herc. fur. 560 Panyas. ap. Arnob. adv. gent. IV p. 85 ed. Elmenh. Contra pugnae in Orco commissae testes nulli sunt, nisi scholiastae ll. ll. et ad Apoll. Rhod. Argon. I 1350 Philemon. p. 105 ed. Osann. Hesych. II 1081 Apollod. II 5, 12 Agatharchid. de mar. rubr. p. 11.

18.

Schol. Ol. *ΙΑ* 17 *νέμει γὰρ Ἀτρέκεια πόλις Λοκρῶν Ζεφυρίων· — ὁ δὲ Δίδυμός φησιν ἔχειν λόγον καὶ τὴν ἡμετέραν* (? *ἑτέραν*) *γραφήν· νέμει γὰρ ἁ τραχεῖα πόλις Λοκρῶν. ἐπεὶ γὰρ περὶ χάριτός ἐστιν ὁ λόγος φησίν· ἀπονέμει γὰρ ἡ τραχεῖα πόλις τὴν χάριν.* Vet. Vrat. A. 'Quod iam metro obversatur'. Bergk. ed. 2 p. 63. 'Schneider. *ἀτρέχεια* acute coniecit'. Boeckh. explic. Pind. p. 199. Adde Hesych. *ἀτρέχως· ἀτρίβως*, ubi leg. *ἀτρεχῶς· ἀκριβῶς*.

19.

ibid. 55 *Ἄλτιν μὲν ὅ γ' ἐν καθαρῷ· Ἀριστόδημος γράφει ἀντὶ τοῦ Ἄλιν Ἄλτιν. οὕτω γὰρ τὸν περὶ τὴν Ὀλυμπίαν τόπον καλεῖσθαι, καὶ τὸν Δία ἐξ ἐπιθέτου Ἀλ-*

τιον, μηδὲ λόγον ἔχειν, τὴν ὑπ' αὐτοῦ ἄρτι πεπορθημένην Ἦλιν ἱερὰν καὶ καθαρὰν ποιῆσαι, ἀλλὰ μηδὲ ἱερὸν εἶναι Διὸς ἐν Ἤλιδι, ἀλλ' ἐν Πίσῃ. ἀπῳκίσθαι δὲ τὴν Πίσαν τῆς Ὀλυμπίας σταδίους ἕξ. Δίδυμος δὲ κατὰ χώραν ἐῶν τὴν γραφὴν τὸν Πίνδαρον τὴν Πίσαν Ἦλιν λέγειν φησίν. οἱ γὰρ Ἠλεῖοι ὑφ' ἑαυτοὺς ποιησάμενοι τοὺς Πισάτας Ἦλιν τὴν Πίσαν μετωνόμασαν. εἰ οὖν ἡ Πίσα μετέβαλε, τί ἂν εἴη ἐμποδὼν γράφειν Ἆλιν; καὶ Καλλίμαχος δὲ τὴν Ἦλιν ἀντὶ τοῦ τὴν Πίσαν Διὸς οἰκίον εἶπεν·

Ἦλιν ἀνάσσεσθαι, Διὸς οἰκίον, ἔλλιπε Φυλεῖ.

Iure hoc quoque loco recentiores critici Didymi lectionem *Ἆλιν* respuerunt obsecuti Aristodemo Dionysio Leptini librisque omnibus praeter P 6 W 2. Cf. Boeckh. expl. Pind. p. 201 Curt. Peloponn. II 109, 54.

20.

ibid. 83 *ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου·* — *ὁ δὲ Δίδυμος οὕτω καθίστησι τὸν λόγον· τὴν Μαντινέαν φησὶν εἶναι ἱερὰν Ποσειδῶνος καὶ παρατίθεται τὸν Βακχυλίδην* (fr. XIII p. 24 ed. Neu.) *λέγοντα οὕτω· Ποσειδάνιον ὡς Μαντινεῖς τριόδοντα χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες· ἐπίσημον γὰρ εἶναι τῶν ἀσπίδων τῶν Ποσειδῶνος τριόδοντα, ὅτι παρ' αὐτοῖς μάλιστα τιμᾶται ὁ θεός. ἔσται οὖν τὸ σαφὲς οὕτω καθ' αὑτὸ ἔξωθεν παραλαμβανομένου τοῦ ὀνόματος· ἀν' ἵπποισι δὲ τέτρασιν ἥρως ὁ ἀπὸ Μαντινέας ἐνίκησε, καὶ ἔστιν ἡ Μαντινέα σημεῖον καὶ ἱερὰ Ποσειδῶνος. Ἁλιῤῥόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσειδῶνά φησι* (sc. Aristodemus, cuius memoria h. l. recolenda est), *καὶ παρατίθεται τὸ Ὁμηρικόν* (ε 292)· *πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων. παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηΐδα μαρτυροῦντα τῷ ἥρωϊ τὴν τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν·*

τρέψας δὲ πώλους, ὡς ὁ Μαντινεὺς Σῆμος.

In Diphili (cf. tamen Meinek. hist. com. gr. p. 449) versibus e Rom. *στρώφας* Gott. Vrat. D *στρωφάσων* cum Meinekio in choliamb. p. 148 *στρωφᾷς* potius vel *στρώφα* scribendum erit, quam cum Boeckhio ad h. l. p. 253, 2 *στρωφῶν*. Idem Meinekius verissime observat excidisse

bus subscribitur *ἡ ἱστορία παρὰ τῷ δεῖνα*. Sed haec adnotasse sufficiet.

Denique quod brevia Didymi scholia *παλαιά* pseudepigrapha a Iano Lascari Aldo Schrewelio Alemanno Barnesio editas non curaverim, spretas illas I. A. Fabricio BG I p. 284—9 A. G. Ferbero in diss. scholia graeca in Homerum, quae Didymo vulgo tribuuntur, generatim lustrante Helmst. 1770 4., neminem fore spero, qui mihi in opprobrium vertat. Vid. Bernhardyi Gr. litt. hist. succinct. vol. II p. 118.

5.

Ὑπομνήματα Πινδάρου.

1.

Ol. *E* inscr. *αὕτη ἡ ᾠδὴ ἐν μὲν τοῖς ἐδαφίοις οὐκ ἦν, ἐν δὲ τοῖς Διδύμου ὑπομνήμασιν ἐλέγετο Πινδάρου*. De hoc loco explicatissime dixit E. Leutsch. in Schneidewin. Philol. I p. 116—127.

2.

Schol. Ol. *A* 33 *ἱππιοχάρμαν δὲ τὸν τῇ ἱππικῇ χαίροντά φησι*. (Vrat. A, recentt.) *καλῶς δὲ τὸ ἐπίθετον τῷ βασιλεῖ διὰ τὸ ἱπποτροφεῖν, ἵνα δείξῃ, ὅτι οὐ τύχης γέγονεν ἔργον τὸ τῷ Φερενίκῳ χρήσασθαι, ἀλλ' ἐπιστήμης καὶ τῆς περὶ τὸ πρᾶγμα ἐπιμελείας. Ἔνιοι δὲ ἀναγιγνώσκουσι παροξύνοντες τὴν παραλήγουσαν συλλαβὴν τῶν Συρακουσίων* (cod. Rehd. *τοῦ συῤῥακουσίων*) *καὶ τὴν ἐσχάτην τοῦ ἱππιοχάρμαν περισπῶσιν, ἵν' ᾖ, τῶν Συρακουσίων ἱππιοχαρμῶν* (ut Palat. C). *τὸν γὰρ Ἱέρωνα οὐκ εἶναι Συρακούσιον, ὅτε ἐνίκα· κτίσαντα γὰρ αὐτὸν τὴν Κατάνην καὶ προσαγορεύσαντα Αἴτναν ἀπ' αὐτῆς Αἰτναῖον λέγουσιν αὐτόν. εὐήθεις φησὶ Δίδυμος τούτους. τότε γὰρ ὁ Ἱέρων ἦν Συρακούσιος καὶ οὐδὲ ἦν Αἰτναῖος, ὥς φησιν Ἀπολλόδωρος. ὁ δὲ Ἀριστόνικος ἀξιοπίστως Αἰτναῖον ὄντα Συρακούσιον ὀνομάζεσθαι.* Vet.

Vid. Boeckh. expl. Pindar. p. 106. — Cod. Rehdig., e

quo C. E. Ch. Schneiderus scholia denuo edidit Vrat. 1843, Didymi memoriam non servavit.

3.

Ol. B 29 *ζητεῖται, δι' ἣν αἰτίαν εὐξάμενος τῷ Θήρωνι τὰ κάλλιστα κατάπαυσιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία. καὶ ὁ μὲν Ἀρίσταρχός φησι, διὰ τὸ κεκμηκέναι τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ῥόδον, τῶν πραγμάτων στασιαζομένων, καὶ οὕτω τὴν εἰς τὴν Σικελίαν μετοικεσίαν στειλαμένων. ὁ δὲ Δίδυμος τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται μάρτυρα Τίμαιον τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας* (fr. 19 vol. I p. 240 ed. Muell.) *προφερόμενος. ἡ δὲ ἱστορία οὕτως ἔχει. Θήρων ὁ τῶν Ἀκραγαντίνων βασιλεὺς Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα ἐν Σικελίᾳ. τοῦ δὲ Γέλωνος τελευτᾶν τὸν βίον μέλλοντος Πολύζηλος ἀδελφὸς τὴν στρατηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεται κατὰ τὰς Γέλωνος τοῦ ἀδελφοῦ προστάξεις, ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος εἰς τὸν Πολύζηλον μετατεθεῖσθαι. λαμπρῷ δὲ αὐτῷ καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν Ἱέρων φθονήσας ὁ ἀδελφὸς καὶ πρόφασιν σκηψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον ἀπελαύνει τῆς πατρίδος. ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλεμον ὁ Πολύζηλος. ὁ δὲ μὴ φέρων γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμοῦ. καὶ οὕτω τὸν Θήρωνα ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ συῤῥῆξαι πρὸς Ἱέρωνα πόλεμον παρὰ Γέλλᾳ, τῷ Σικελιωτικῷ ποταμῷ, οὗ Καλλίμαχος μέμνηται· οἱ δὲ Γέλᾳ ποταμῷ ἐπικείμενον ἄστυ* (fr. I p. 557). *μή γε μὴν εἰς βλάβην, μηδὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον. φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιτυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν. Τούτοις οἰκείως τοῖς φθάσασιν εὔχεσθαι τῷ Διΐ φησι τὸν Πίνδαρον ὁ Δίδυμος, ὥστε λοιπὸν αὐτοῖς εἰρηναῖον εἶναι τὸν βίον. κτέ.* Quae Boeckhius p. 65 ut sensu cassa nec quidquam novi continentia omisit, Schneiderus l. c. p. 18 n. 7 e laciniis codicis supplevit *κηδεστὴν οὖν ὄντα, φησὶν ὁ Δίδυμος, τὸν Θήρωνα τῷ Πολυζήλῳ παραμυθεῖται ὁ Πίνδαρος. γράφει*

κατὰ λέξιν οὕτως· Πολυζήλῳ τοίνυν τῷ τοῦ Ἱέρωνος ἀδελφῷ, Γέλωνος μετὰ τῆς στρατηγίας καὶ τὴν γυναῖκα Δημαρέτην κατὰ τὴν τελευτὴν ἐγγυήσαντος, ὥστε, ἅπερ εἶχε Γέλων πρὸς Θήρωνος, ταῦτα εἶχεν ὁ Πολύζηλος πρὸς Γέλωνος, γαμβρῶν οὖν κτέ.

4.

ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Schol. Ol. *B* 82 p. 72 Bckh. ἔστι μὲν καὶ οὕτω διαστεῖλαι· ὅθεν σπέρματος ἔχοντι ῥίζαν, εἶτα ἀπ' ἄλλης ἀρχῆς· πρέπει τὸν Αἰνησιδήμου. ὃ (cod. ἣν, sc. διαστολήν, ut Schneiderus adnotat; possis ᾗ) καὶ Δίδυμος ἀποδέχεται. Ἀρίσταρχος δὲ οὕτως· ὅθεν σπέρματος ἔχοντα (sic Th. Bergkius PLG p. 23 ed. II, Boeckh. ἔχοντι, cod., qui voluisse videtur ἔχον^τ, exhibet ἔχον) ῥίζαν τὸν Αἰνησιδάμου. ὡς τῶν ἴσων εἶναι τὸ (cod. τῷ) 'ἀφ' ὧν ἔχοντι τὸ σπέρμα' τῷ 'Αἰνησιδάμου υἱῷ πρέπει λυρῶν καὶ ἐγκωμίων τυγχάνειν.' γίνεται δέ, φησὶν ὁ Δίδυμος, κατὰ τὴν ἐκφορὰν ταύτην παρέλκον τὸ 'τυγχανέμεν.'

Itaque Didymus vulgatam lectionem codicum tuebatur contra Aristarchi lectionem ἔχοντα a Bergkio receptam. — Vide etiam Tych. Mommsen. in Mus. Rh. N. F. IV p. 549 et Schneiderum l. c. p. 22 n. 3.

5.

πόσις ἁπάντων Ῥέας ὑπέρτατος ἐχοίσας θρόνον

Schol. Ol. *B* 140 p. 81 ὁ μὲν Ἀρίσταρχος πόσιος γράφει ὁ πάντων, καὶ τὸν Δία ἀκούει συμπότην εἶναι τοῦ Ῥαδαμάνθυος. ὁ δὲ Δίδυμος ἐπὶ τοῦ Κρόνου καθιστᾷ τὸν λόγον (sic Gerhard., cod. κρόνον)· ὅντινα Ῥαδάμανθυν ὁ πατὴρ πάντων ὁ Κρόνος, ὁ τῆς Γῆς παῖς, ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἐχούσης θρόνον Ῥέας ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον. Schneiderus l. c. p. 26 nil nisi hoc protraxit καθιστᾷ τὸν κρόνὸν ὀνομάσας (fort. ὃν ὁ μέγας) πατὴρ πάντων ὁ κρόνος. ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον.

Fere, ut Didymus, locum graviter corruptum restituit Bergkius p. 24 ed. 2 ὃν πατὴρ ἔχει παῖς ὁ Γᾶς ἑτοῖμον πάρεδρον, πόσις ἁπάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον, eiecto αὐτῷ glossemate manifesto: nisi quod Didymus ὁ πάντων arripiens hyperbato non ferendo ad πατήρ (h. e. Saturnus, Plat. Cratyl. 404 A) retulit et fortasse Κρόνος ὁ Γᾶς legit. Aristarcheam vero lectionem idem Bergkius fuisse putat ὃν πατὴρ ἔχει . . . . πάρεδρον πόσιος ὁ πάντων Ῥέας ὕπατον ἐχοίσας παῖς θρόνον vel ὃν πατὴρ πάντων ἔχει ἑτοῖμον αὐτῷ πάρεδρον πόσιος, ὧν παῖς Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον (cf. Ed. Gerhard. ap. Boeckh. p. 81). Ac iure merito Bergkius αὐτῷ proscripsit, ΠΑΙϹ vero, quod similitudine subsequentis vocabuli ΓΑϹ facillime pessum dari poterat, emendandum in γόνος ὁ Γᾶς esse arbitror, ut vulgata lectio Κρόνος explicatior fiat. Fac, ut verbis γόνος ὁ γᾶς, a Didymo verbis ὁ τῆς Γῆς παῖς expressis, superscriptum fuerit Κρόνος, vides interpretamentum hoc facillime pro varia lectione accipi potuisse, praesertim cum non multum discreparent γόνος et Κρόνος.

6.

Ol. Γ inscr. p. 91 ζητεῖται, διὰ τί μὴ Διῒ μᾶλλον οὗτος ηὔξατο, ᾧ οὗτος ὁ ἀγὼν ἀνάκειται, ἢ Ἡρακλεῖ τῷ καταβολεῖ, ἀλλὰ Διοσκούροις; φαμὲν οὖν πρῶτον, ὅτι πρὸς τὸ παρόν εἰσιν αὐτοὶ οἱ διοικοῦντες τὸν ἀγῶνα, ἔπειτα ὅ τε Ζεὺς καὶ Ἡρακλῆς. ὁ δὲ Ἀρίσταρχός φησι παρὰ τοῖς Ἀκραγαντίνοις διὰ τιμῆς εἶναι τοὺς Διοσκούρους καὶ πατρίῳ ἔθει καὶ νῦν αὐτοὺς χρῆσθαι. ὁ δὲ Δίδυμος ἱστορικώτερόν φησι διὰ τὸ τὸν Θήρωνα ἄνωθεν Ἀργεῖον εἶναι. τιμῶνται δὲ κατὰ τὸ Ἄργος καὶ τὴν Πελοπόννησον οἱ Διόσκουροι. Vet. schol. § Ex cod. Vrat. A accessit ζητεῖται, τί δήποτε ὁ Πίνδαρος Ὀλυμπιακὸν ὕμνον γράφων εὔχεται τοῖς Διοσκούροις προσηνεῖς τῇ ᾠδῇ γενέσθαι. ἐχρῆν γὰρ ἄρα Ἡρακλέα τὸν διαθέντα τὸν ἀγῶνα κατακαλεῖσθαι. Ἀρίσταρχος μὲν οὖν τὴν ἀπορίαν διαλύων τοὺς θεοὺς τούτους σφόδρα ἐν Ἀκράγαντί φησι τιμᾶσθαι. οἱ δέ φασι θεοξενίων ὄντων καὶ κεκλημένων τῶν Διοσκούρων, εἰς τὰ θεοξένια τὸν Θήρωνα νικῆσαι, ᾧ

συγχρησάμενον τὸν Πίνδαρον εὔχεσθαι τοῖς Διοσκούροις. οἱ δέ, ὅτι Ἡρακλῆς ἀποθεούμενος τούτοις ἐπέτρεψε τὸν ἀγῶνα, ὡς καὶ αὐτὸς ὁ Πίνδαρός φησι. τῇ Ἀρισταρχείῳ ἀποδόσει ὁ Δίδυμος μᾶλλον προστίθεται.
Cf. Boeckh. explic. Pind. p. 135. 136.

7.

Ol. *Γ* 54 *Ὀρθωσίᾳ, τῇ Ἀρτέμιδι. περὶ τῆς Ἀρτέμιδος Ἀπολλόδωρος γράφει. Ὀρθωσία δέ, ὅτι ὀρθοῖ εἰς σωτηρίαν, ἢ ὀρθοῖ τοὺς γενομένους. καὶ ἐν Ἀθήναις ἵδρυται, τὸ ἱερὸν δέ ἐστιν ἐν Κεραμεικῷ. καὶ παρ' Ἠλείοις Ὀρθωσίας Ἀρτέμιδος ἱερόν, ὥς φησι Δίδυμος.* Vrat. A.
Cf. Hesych. s. vv. *Ὀρθία. Ὀρθωσία* Xenoph. Lac. 2, 10 Paus. III 16 Sext. Emp. hypoth. Pyrrh. III 24 Tzetz. Lycoph. 1331 Meurs. Gr. fer. p. 87.

8.

Ol. *Ε* 20 p. 123 Bckh. *ὁ Ἵππαρις λέγεται τὰς ῥύσεις τῶν ὑδάτων ἔχειν οὐχ ὁμοίως, ἀλλὰ τὴν μὲν γλυκεῖαν, τὴν δὲ πικράν, ὅπερ κρύπτων ὁ ποιητὴς σεμνοὺς ὀχετούς λέγει. Ἵππαρις δὲ ποταμὸς Σικελίας.*

Φήσω καὶ Καμάριναν, ἵν' Ἵππαρις ἀγκύλον ἕρπει. Ἀρίσταρχος παριέναι φησὶ τὸν Ἵππαριν τὴν πόλιν καὶ προσχέοντα (cod. *προέχων* ..) *συναναπλάσσειν αὐτῇ γῆν. Τοῦτο δέ φησιν ὁ Δίδυμος ἀμάρτυρον εἶναι. οὐ γὰρ ἱστορεῖται περὶ τὸν Ἵππαριν καὶ τὴν Καμάριναν τοῦτο γενόμενον. Βέλτιον οὖν οὕτω τινές· ἐπειδὴ ἐξ ὑπογυίου συνῴκισται ἡ Καμάρινα, καθὰ καὶ νέοικον αὐτὴν προσηγόρευσεν, γειτνιᾷ δὲ Ἵππαρις αὐτῇ, κατὰ τοῦτο φάναι, ἐπὶ τοῦ συνοικισμοῦ κολλᾶσθαι ὑπ' αὐτοῦ σταδίων θαλάμων ὑψίγυιον* (cod. *ὑψίπυργον*, quod Bergkius non debebat pro lectionis varietate habere) *ἄλσος. ἐπεὶ τὰ* (cod. *ἔπειτα*) *ἐπιτήδεια πρὸς τὴν οἰκοδομὴν διὰ τοῦ κατάπλου προσεκομίζετο* (cod. *προεκ.*), *ὥστε ποιεῖν σταδίους θαλάμους.* Sic 'reliquiae docti olim scholii ex Vrat. A', quibus gemina fere profert alter scholiasta apud Boeckhium p. 122. Didymi explicationem amplexi sunt Libanius II p. 386 B et Boeckhius expll. Pind. p. 149.

9.

Ol. ϛ 55 *ἄνασσε Φαισάνᾳ· Δίδυμός φησιν, ὅτι πάντες οἱ ὑπομνηματισάμενοι Φαισάναν φασὶν εἶναι τῆς Ἀρκαδίας πόλιν. αὐτὸς δέ φησιν εἶναι τῆς Ἠλιαίας καὶ παρατίθεται Ἴστρον ἱστοροῦντα ἐν τῇ πέμπτῃ τῶν Ἠλιακῶν. ἤτοι οὖν Πίνδαρος ψεύδεται, ἢ διὰ τὸ τὴν Πίσαν ὑπὸ τοῖς Ἀρκάσι ποτὲ γενέσθαι βασιλεύειν φησὶ τῆς Φαισάνης.* Vrat. A. Vilioris pretii, quamquam simillimum, scholion est vetus alterum. Lites veterum interpretum componit Boeckhius expl. Pind. p. 157 Curtius Peloponn. I p. 340.

10.

ib. 115 *σεμνὸν θάλος Ἀλκαϊδᾶν· Δίδυμός φησι μὴ σώζεσθαι τὸν λόγον· τὸν γὰρ Ἡρακλέα θάλος εἶπεν Ἀλκαϊδᾶν ἀπὸ Ἀμφιτρύωνος, ὃς ἦν Ἀλκαίου παῖς. ἔθος δὲ τῷ Πινδάρῳ κατὰ τοῦ ἑνὸς τάσσειν τὸ πληθυντικόν.* Vrat. A. 'Conicias delendum esse *μή* ante verbum *σώζεσθαι.*' Boeckhius p. 146. Non accedo.

10[b].

ib. 158 *σκάπτῳ· Ἀρίσταρχος· τοῖς κατὰ τὸν χρόνον εἰπεῖν, ἐπικελεύων τῶν τε Συρακουσῶν μεμνῆσθαι καὶ τῆς Ὀρτυγίας. αὕτη δέ ἐστι προσεχὴς ταῖς Συρακούσαις νῆσος καὶ ἀχώματος. ὁ δὲ . . . . διὰ τὸν Ἱέρωνα, ἐπεὶ ἄνωθεν ἐκ προγόνων ἱεροφάντης ταῖν θεοῖν ἀποδέδεικται. τὰ προκείμενά φησιν ὁ . . . . καὶ παρατίθεται τὰ Φιλίστου καὶ τὰ Τιμαίου.* 'Ubi lacunam posui, in codice est *Πίνδαρος*. Fuit, ut credo, *Δίδυμος*.' Boeckhius p. 153 Mueller. fr. hist. Gr. vol. I p. 215 fr. 91.

11.

Schol. Ol. Z 24 *τρίπολιν νᾶσον· τὴν Ῥόδον — Δίδυμος δέ φησι καὶ τετάρτην εἶναι πόλιν τὴν νῦν Ἀχαιῶν καλουμένην.* Vrat. A. Cf. Liv. XXXII 23. Plin. h. n. V 36 tres tantum urbes cognitas habet.

12.

ib. 153 p. 181 *Πολέμων ἐν τῷ περὶ τῶν Θήβησιν*

Ἡρακλείων φησὶ χαλκὸν τὸ ἆθλον εἶναι τοῖς ἐν Ἀρκαδίᾳ Λυκαίοις, ὥστε ἀπὸ κοινοῦ τὰ ἔργα καὶ τὸν χαλκὸν ληπτέον, ὅτε φησὶν ὁ Πίνδαρος· ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν, τά τε ἐν Ἀρκαδίᾳ ἔργα Θήβαις. δίδοται γὰρ ἐν ταύταις τρίποδας χαλκοῦς. Πολλοὶ δ' ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ Λύκαια Κόρεια Ἀλεαῖα Ἕρμαια· ἐν δὲ Θήβαις τὰ Ἡράκλεια, τὰ δὲ αὐτὰ καὶ Ἰολάεια καλεῖται· ἐν δὲ Βοιωτίᾳ ἐν μὲν Θεσπειαῖς Ἐρώτια, ἐν δὲ ταῖς Πλαταιαῖς τὰ Ἐλευθέρια. ταῦτα Ἀριστόνικος. ὁ δὲ Δίδυμός φησι (προστίθησι?) καὶ Ἀμφιαράια ἐν Ὠρωπῷ καὶ Δήλια ἐπὶ Δηλίῳ καὶ Τροφώνια ἐν Λεβαδείᾳ. Vrat. A.

Illustrat partim L. Preller. Polem. p. 53 sqq. De Alea urbe diisque ibi cultis v. Curtium Pelop. I 218 n.; de Coreis ab Hermaeis fortasse non distinguendis eundem p. 296 coll. p. 336, 8; de Lycaeis Boeckhium expl. Pind. p. 175. Simul ex hoc loco patet Aristonicum in Pindari epinicia ante Didymum commentatum esse (Boeckh. praef. scholl. p. XLI), quem scimus in Homericis operibus Didymo usum esse. Itaque alter alteri suppar vixit.

13.

ib. 159 νώτοισιν Ἀταβυρίου· — Δίδυμος δέ φησιν εἶναι ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς Τίμαιός (fr. 3 vol. I p. 194 Muell.) φησι. καλεῖται δὲ καὶ ὁ Ἀταβύριος. Boeckh. in expl. Pind. p. 177 (nott. 390) conferri iubet Meurs. Rhod. I 8 Goeller. hist. Syrac. p. 294. Cf. Steph. Byz. 141 M. Apollod. III 2, 1 Diod. V 59 Hesych. s. v. Tzetz. Chil. IV 390 Lactant. Inst. I 22 Olshausen. in Mus. Rhen. N. F. 1853 p. 323. E Lactantio vero colligas Didymum ad h. l. longius excurrisse, quam nostrorum scholiorum conditio prodit.

14.

Verba Lactantii p. 130 LB ed. Gall. haec sunt: *Didymus in libris ἐξηγήσεως Πινδαρικῆς ait, Melissea Cretensium regem primum Diis sacrificasse, ac ritus novos sacrorumque pompas introduxisse. Huius duas fuisse filias, Amaltheam et Melissam, quae Iovem puerum caprina lacte ac*

melle nutrierunt, unde poetica illa fabula originem sumpsit, advolasse apes, atque os pueri, melle complesse. Melissam vero a patre primam sacerdotem Matri magnae constitutam, unde adhuc eiusdem Matris antistites Melissae nuncupantur. Historia vero sacra (sc. Euhemeri) *testatur* et q. s. *Sic constituta sunt templa Iovi Atabyrio, Iovi Labradeo. Atabyrius enim et Labradeus hospites eius atque adiutores in bello fuerunt. Item Iovi Lapersio*, (cod. Laprio, Gyrald. Betulei. coni. Elaphro, cf. Curt. Peloponn. vol. II p. 324 n. 62) *Iovi Molioni, Iovi Cassio et quae sunt in eundem modum* et q. s. *Sive igitur a Melisseo, sic ut Didymus, colendorum Deorum ritus effluxit, sive ab ipso quoque Iove, ut Euhemerus tradit, de tempore tamen constat, quando Dii coli coeperint.*

De Melissa et Melisso dixit Lobeck. in Aglaoph. p. 50. 514. 817. 989. — Boeckh. praef. p. XVIII locum ad Pyth. IV 104 refert.

15.

Ol. *H* inscr. p. 187 *γέγραπται ὁ ἐπινίκιος προηγουμένως τῷ Ἀλκιμέδοντι παιδὶ παλαιστῇ νικήσαντι τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα, μέμνηται δὲ ὁ Πίνδαρος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ · Τιμοσθένους Νέμεα νικήσαντος καὶ τοῦ ἀλείπτου αὐτοῦ Μελησίου, ὥς τινες καὶ παγκρατιαστοῦ. τοῖς γὰρ τρισί, φησὶν ὁ Δίδυμος, μίαν ᾠδὴν γέγραφε.*

16.

Ol. *Θ* 34 p. 212 *μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς· — ὁ δὲ Δίδυμος ἀντὶ τοῦ μαλακαῖς. καὶ γὰρ ἑτέρωθι μαλακοφώνους τὰς ᾠδάς φησιν* (Isth. II 8). Vrat. A. Male, ut adiectum *ἐπιφλέγων* docet.

17.

ibid. 43 p. 213 *ἰδίως κἀνταῦθα ὁ Πίνδαρος τὸν Ἡρακλέα φησὶ τοῖς τρισὶ πολεμῆσαι θεοῖς. δεδόσθω γὰρ αὐτῷ, φησὶν ὁ Δίδυμος, περὶ τὴν ὑπὸ τῷ Νέστορι Πύλον συστῆναι τὸν πόλεμον, Ὁμήρου* (*E* 397) *τὴν ἐν Ἄιδου πύλην νεκύων εἰπόντος· ἐν πύλῳ, ἐν νεκύεσσι βαλών. εἴη δ' ἂν νῦν ὁ Πίνδαρος τὰ καὶ τόποις καὶ χρόνοις διεστῶτα εἰς ἕνα καιρὸν ἄγων ἕνεκα τοῦ μειζόνως ἢ ὡς ἔσχε ταῖς*

ἀληθείαις τὸν Ἡρακλέα ἔχειν ἐπαινεῖν. Ἀπόλλωνι μὲν γὰρ ὁ Ἡρακλῆς ἐν Πυθοῖ μάχεται περὶ τοῦ τρίποδος οὐκ ἀμύνων τῇ Πύλῳ, τῷ Ἅιδῃ δέ, ὅτι τὸν Κέρβερον ἀνήγαγε, Ποσειδῶνι δὲ ἀμύνοντι Πύλῳ.

Hinc scholia Hom. Il. *E* 397 suppleri possunt. Nam genuina Didymi scholia ad v. 336—365 Villoisone teste perierunt. Didymus igitur cum Aristarcho *ἐν πύλῳ* legit, quod iam animadverterunt scholl. BL., ab Homeri et communi Graecorum usu alienum. Cf. Il. *Π* 810 *E* 646 *I* 312 *Ψ* 71 Od. *ξ* 156 Lobeck. paralip. p. 178. Recte *ἐν Πύλῳ* Iustin. in cohort. p. 3 (Colon. 1686) Tzetz. ad Lyc. p. 351 scholl. AD. Il. *Λ* 690 interpr. Gr. ap. Bekk. ac praeferunt *ἐν Πύλῳ* scholl. L. V. D. Eustath. p. 563, 27 Thiersch. ad Pind. Ol. IX 32 O. Mueller. Doriens. I p. 447 ed. alt. Gross. Vindic. Hom. I p. 74 Iacob. Mythol. enchir. p. 360 Heyn. Both. Orcum ab Hercule Pyliorum bello vulneratum norunt Apollod. bibl. II 7, 3 Pausan. VI 25, 3 schol. AD. Il. *Λ* 690 Senec. Herc. fur. 560 Panyas. ap. Arnob. adv. gent. IV p. 85 ed. Elmenh. Contra pugnae in Orco commissae testes nulli sunt, nisi scholiastae ll. ll. et ad Apoll. Rhod. Argon. I 1350 Philemon. p. 105 ed. Osann. Hesych. II 1081 Apollod. II 5, 12 Agatharchid. de mar. rubr. p. 11.

18.

Schol. Ol. *ΙΑ* 17 *νέμει γὰρ Ἀτρέκεια πόλις Λοκρῶν Ζεφυρίων· — ὁ δὲ Δίδυμός φησιν ἔχειν λόγον καὶ τὴν ἡμετέραν* (?*ἑτέραν*) *γραφήν· νέμει γὰρ ἁ τραχεῖα πόλις Λοκρῶν. ἐπεὶ γὰρ περὶ χάριτός ἐστιν ὁ λόγος φησίν· ἀπονέμει γὰρ ἡ τραχεῖα πόλις τὴν χάριν.* Vet. Vrat. A. ‘Quod iam metro obversatur’. Bergk. ed. 2 p. 63. ‘Schneider. *ἀτρέχεια* acute coniecit’. Boeckh. explic. Pind. p. 199. Adde Hesych. *ἀτρέχως· ἀτρίβως*, ubi leg. *ἀτρεχῶς· ἀκριβῶς*.

19.

ibid. 55 *Ἄλτιν μὲν ὅ γ' ἐν καθαρῷ· Ἀριστόδημος γράφει ἀντὶ τοῦ Ἆλιν Ἄλτιν. οὕτω γὰρ τὸν περὶ τὴν Ὀλυμπίαν τόπον καλεῖσθαι, καὶ τὸν Δία ἐξ ἐπιθέτου Ἀλ-*

τιον, μηδὲ λόγον ἔχειν, τὴν ὑπ' αὐτοῦ ἄρτι πεπορθημένην Ἦλιν ἱερὰν καὶ καθαρὰν ποιῆσαι, ἀλλὰ μηδὲ ἱερὸν εἶναι Διὸς ἐν Ἤλιδι, ἀλλ' ἐν Πίσῃ. ἀπῳκίσθαι δὲ τὴν Πίσαν τῆς Ὀλυμπίας σταδίους ἕξ. Δίδυμος δὲ κατὰ χώραν ἐῶν τὴν γραφὴν τὸν Πίνδαρον τὴν Πίσαν Ἦλιν λέγειν φησίν. οἱ γὰρ Ἠλεῖοι ὑφ' ἑαυτοὺς ποιησάμενοι τοὺς Πισάτας Ἦλιν τὴν Πίσαν μετωνόμασαν. εἰ οὖν ἡ Πίσα μετέβαλε, τί ἂν εἴη ἐμποδὼν γράφειν Ἆλιν; καὶ Καλλίμαχος δὲ τὴν Ἦλιν ἀντὶ τοῦ τὴν Πίσαν Διὸς οἰκίον εἶπεν·

Ἦλιν ἀνάσσεσθαι, Διὸς οἰκίον, ἔλλιπε Φυλεῖ.

Iure hoc quoque loco recentiores critici Didymi lectionem *Ἆλιν* respuerunt obsecuti Aristodemo Dionysio Leptini librisque omnibus praeter P 6 W 2. Cf. Boeckh. expl. Pind. p. 201 Curt. Peloponn. II 109, 54.

20.

ibid. 83 *ἀπὸ Μαντινέας Σᾶμος ὡλιρόθίου· — ὁ δὲ Δίδυμος οὕτω καθίστησι τὸν λόγον· τὴν Μαντινέαν φησὶν εἶναι ἱερὰν Ποσειδῶνος καὶ παρατίθεται τὸν Βακχυλίδην* (fr. XIII p. 24 ed. Neu.) *λέγοντα οὕτω· Ποσειδάνιον ὡς Μαντινεῖς τριόδοντα χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες· ἐπίσημον γὰρ εἶναι τῶν ἀσπίδων τῶν Ποσειδῶνος τριόδοντα, ὅτι παρ' αὐτοῖς μάλιστα τιμᾶται ὁ θεός. ἔσται οὖν τὸ σαφὲς οὕτω καθ' αὐτὸ ἔξωθεν παραλαμβανομένου τοῦ ὀνόματος· ἀν' ἵπποισι δὲ τέταρσιν ἥρως ὁ ἀπὸ Μαντινέας ἐνίκησε, καὶ ἔστιν ἡ Μαντινέα σημεῖον καὶ ἱερὰ Ποσειδῶνος. Ἁλιῤῥόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσειδῶνά φησι* (sc. Aristodemus, cuius memoria h. l. recolenda est), *καὶ παρατίθεται τὸ Ὁμηρικόν* (ε 292)· *πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων. παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηΐδα μαρτυροῦντα τῷ ἥρωϊ τὴν τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν·*

τρέψας δὲ πώλους, ὡς ὁ Μαντινεὺς Σῆμος.

In Diphili (cf. tamen Meinek. hist. com. gr. p. 449) versibus e Rom. *στρώφας* Gott. Vrat. D *στρωφάσων* cum Meinekio in choliamb. p. 148 *στρωφᾷς* potius vel *στρώφα* scribendum erit, quam cum Boeckhio ad h. l. p. 253, 2 *στρωφῶν*. Idem Meinekius verissime observat excidisse

Aristodemi memoriam, quod ex altero scholio conicere licet. Itaque lacunam notavi post verbum *φησί*. Atque erroris manifestus etiam Bergkius est in Pindari ed. alt. p. 66 haec scribens: 'Schol. legit *σᾶμ' Ἁλιῤῥοθίου*, ut esset periphrasis pro simplici *Ἁλιῤῥόθιος*, idque Didymus probavit, quamquam aliter interpretatur'. Nam Didymi sententia opposita est eorum interpretationi, qui *κατὰ περίφρασιν ἤκουσαν* (*ὅθεν τινὲς—ἤκουσαν. ὁ δὲ Δίδυμος οὕτω κτέ*). Quid igitur Didymus, cui quidem Aristodemi animadversio ignota esse non poterat, legisse putandus est? Suspicor eum de metro parum sollicitum dedisse *ἥρως Ἁλιροθίου* vel *Ἁλιρόθιος* h. e. Neptunius heros. Ter enim in codd. Gott. Vrat. D. *ἥρως*, *ἥρωϊ* et *ἥρως* (pro *Σῆμος*) repetitur. Neque alia arte conciliari lectiones *ἥρως* et *Σῆρος* posse videntur, quam ut in codice scriptum fuisse statuas *MANTINEAC HPOC*, unde Didymus *ἥρως* alii *Cῆρος* elicuerunt. Ac Didymus *ἥρως* fortasse ferendum putavit, qui sciret in *ἥρωος ἥρωες* mediam corripi; cf. Wolf. Hom. Odyss. ζ 303 Boeckh. nott. critt. Pind. p. 438; (adde *Ἥρα*, quod fluit ab inusitato *Ἧρος*, Latinorum *herus*, Germanorum *Herr*.). Simul hinc patet, quid sibi Thesei mentio in Vrat. A. iniecta velit. Hunc enim Ovidius etiam *Neptunium heroa* vocat. — Tycho Mommsen. in Museo Rhen. N. F. IV p. 548 ingeniose conicit *ἂν ἵπποις σὺ δὲ τέτρασιν | ἀπὸ Μαντινέας, Σᾶμ' Ἁλιῤῥόθιε παῖ* vel *Ἁλιῤῥόχθιε*.

21.

Ol. *ΙΓ* 27 p. 271 *τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα·* — *Δίδυμος δέ φησι μήτε τοὺς ἱππικοὺς δρόμους μήτε τὰς τῶν ἁρμάτων κατασκευὰς μήτε τὸν χαλινὸν διὰ τούτων δηλοῦσθαι, ἀλλὰ τὸν κεραμεικὸν τρόχον ἐκ μεταφορᾶς διχόθεν μετενηνεγμένης. τοῦτο μὲν ὅτι ἵππος οἰκεῖος ὁ τροχός, τοῦτο δὲ ὅτι ἑκατέρωθεν ἐλαύνεται ὑπὸποδὸς πτέρνης. Καλλίμαχος· πτέρνῃ θ' ἵππος ἐλαυνόμενος. καὶ Θεόφραστος δὲ ἐν τῷ περὶ εὑρημάτων Ὑπέρβιον τὸν Κορίνθιόν φησιν εὑρηκέναι τὴν τοῦ κεραμεικοῦ τροχοῦ μηχανήν. μέτρα δὲ αὐτὸν ὁ Πίνδαρος, παρόσον ἐκ κεραμεικοῦ μετροῦμεν. § ὁ Δίδυμος ἑτέραν ἀποδίδωσιν οὕτως*

ἔχουσαν· τὴν ἐν πρόθεσιν ἀντὶ τῆς εἰς κειμένην συναπτέον πρὸς τὰ μέτρα. τίς γὰρ τοῖς εἰς τὰ μέτρα ἱππείοις ἔντεσιν ἐχρήσατο πρώτη ἢ σύ, ὦ Κόρινθε; ἵππεια δὲ ἔντεα τὰ Φειδώνεια ἀγγεῖα ἀκουστέον. ἔντεα γὰρ ἂν εἴη τὰς χοίνικας καὶ τοὺς μεδίμνους λέγων, καὶ ὅσα ἄλλα, οἷον χόες, ψυκτῆρες, κώθωνες, διὰ τὴν κοιλότητα. καὶ Ὅμηρος (*η* 232)· *ἀμφίπολοι δ' ἐπεκόσμεον ἔντεα δαιτός. τούτων οὖν εἰς τὰ μέτρα ἐντέων εὑρετάς φησιν εἶναι τοὺς Κορινθίους. διὰ τί δὲ ἵππεια αὐτὰ εἶπεν; ὅτι Φείδων ὁ πρῶτος κόψας Κορινθίοις τὸ μέτρον Ἀργεῖος ἦν, τὸ δὲ Ἄργος ἵππειον λέγουσιν οἱ ποιηταί.·Εὐριπίδης* (I. T. 700)· *ὅταν εἰς Ἑλλάδ' ἵππιον τ' Ἄργος μόλῃς.* Vet.

Cf. Boeckh. explic. Pind. p. 213 m. Vocem *ἔντεα* arbitror Luciano de dea Syria restituendam esse §. 51 III p. 486 R *τὰ δὲ πολλὰ ἔτεα, ἐμοὶ δοκέει, διὰ τοῦτο ἕστηκε,* q. l. *ἔτη* codd. AE., *ἔστι* V. X., *ἕτοιμα* Koen. coni. ad Greg. Cor. p. 477 Schaef., Bastio dubitante. *Ἔντεα* interpretor *ἔντε' Ἀρήϊα*, *Ruestzeug*. Pro *διὰ τοῦτο* in AEa et cod. Vatic. Bastii exstat *καὶ τοῦτο* (superscr. *διὰ*) et *καὶ διὰ τοῦτο*. Lego *κατὰ τοῦτο*.

22.

ibid. 29 *ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον· — τινὲς δὲ τὸ ἀέτωμα, ὥς φησι Δίδυμος παρατιθέμενος Τίμαιον λέγοντα καὶ τοῦτο ἐν ταῖς οἰκοδομίαις αὐτῶν εὕρημα, ταύτην ἀποδοὺς τὴν ἐξήγησιν τῶν προκειμένων.* Cf. schol. alt.

Cf. Boeckh. expl. Pind. p. 213. 214.

23.

Schol. Pyth. *Δ* 44 *δώδεκα δὲ πρότερον ἁμέρας· τοῦτο προσειληφέναι φησὶ Δίδυμος Πίνδαρον τερατείας χάριν τῆς πρὸς ἡμᾶς, ἐπεὶ οὐδὲ πρέπον τὸ πρὸς εἰδότας λέγειν. ὁ δὲ Ἀμμώνιος περὶ τούτων οὕτω γράφει. Καὶ ἑαυτὴν συμπεριλαμβάνει διὰ τὸ ταῖς αὐτῆς βουλαῖς τὴν ἔξω φυγὴν ποιήσασθαι· ἐκβιβάσαι γὰρ συνεβούλευσε καὶ διὰ τοῦ Ἀδρίου ποιῆσαι τὸν πλοῦν· τοῦτο δὲ ἐναντίον τῷ ἐκ τοῦ Ὠκεανοῦ ὑπὲρ τὴν Λιβύην κομίσαι τὴν ναῦν εἰς*

τὴν Τριτωνίδα· ἀλλὰ μᾶλλον ὡς διὰ τοῦ Φάσιδος εἰς τὸν Ὠκεανὸν ἐκπεπτωκότων.

Videtur igitur veterum aliquis grammaticorum huic versui notam adlevisse criticam e. g. *τὸ χ, ὅτι πρὸς εἰδότας λέγει ἡ Μήδεια*; patrocinati poetae alii sunt, e quibus Ammonius Medeam arbitratur Argus humeris vectae mentionem fecisse eo consilio, ut suas ipsius laudes concelebraret, Didymus vero poetam haec inseruisse autumat, ut nobis monstra loqueretur. Ceterum Ammonius Apollonium Rhodium et Timagetum in I de portubus (schol. Ap. Rh. IV 259) sequitur, quam ob rem inde a verbis *τοῦτο δὲ ἐναντίον* refutatur a Didymo Hesiodum Antimachum in Lyde et Hecataeum Milesium atque ipsum denique Pindarum secuto.

24.

ibid. 446 *Πελίαο φόνον· ὁ Χαῖρις οὐ βούλεται συνθέτως ἀναγιγνώσκειν τὸ Πελίαο φόνον. ἐκ γὰρ δύο τελείων ἐστὶ τοῦ Πελίαο καὶ τοῦ φόνου. γίνεται δὲ τοιαύτη σύνθεσις, ὡς μεταβάλλεσθαι τὸν τόνον. ἤτοι οὖν, φησὶν ὁ Δίδυμος, προσενεκτέον τὰν Πελιαοφονόν, ὀξυτόνως, ἵν' ᾖ φονευτικήν, ἢ παροξυτόνως, ἥτις ἦν τοῦ Πελίου φόνος.* Gotting.

Verissima Chaeridis emendatio; rectius vero, quam Didymus, *Πελιαφόνον* accinunt codd. GuVbd.

25.

ibid. 454 p. 372 *διαπορουσι δέ, διὰ τί μόνου Εὐφήμου μνημονεύει, πολλῶν ταῖς Λημνίαις πλησιασάντων. ἐπιλύεται δὲ ὁ Δίδυμος φάσκων, ὅτι ἀπὸ Εὐφήμου τούτου ἐγένετό τις καὶ ἕτερος Εὔφημος ὁ σὺν Βάττῳ τὴν Κυρήνην κτίσας, ὃν διὰ τὴν ὁμωνυμίαν ἀπ' ἐκείνου τις ὑποτοπάσειεν εἶναι.*

26.

Pyth. *E* 76 p. 381 *ἐκεῖνον δὲ τὸν Βάττον καὶ οἱ χαλεποὶ λέοντες τῆς Λιβύης εὐλαβηθέντες ἔφυγον, γλῶσσαν ἐπεί σφισιν ἀπένεικεν ὑπερποντίαν. οὐχ ὅτι, φησὶν ὁ Δίδυμος, οἱ λέοντες ἐκ φωνῆς ἔφυγον, ἀλλ' ἐπεὶ τὴν ἀπό-*

φασιν ἐκ τῆς Πυθίας ὑπὲρ τὸν πόντον διεκόμισεν. ἐλθόντι γὰρ αὐτῷ εἰς Δελφοὺς καὶ χρωμένῳ, πῶς ἀποκαταστήσει τὴν φωνήν, παραλιποῦσα τὸ ἐρωτηθὲν ἐκέλευσεν αὐτῷ πόλιν κτίζειν ἐπὶ τῆς Λιβύης. τοιοῦτον οὖν ἐστι τὸ 'γλῶσσαν ἐπεί σφιν ἀπένεικεν', ἐπεὶ τὸν χρησμὸν διεκόμισε. κατὰ γὰρ τὸν χρησμὸν διεβίβασεν ὄχλον καὶ ἔκτισε τὴν Κυρήνην. ἔφυγον δὲ οἱ λέοντες φοβηθέντες τὸ πλῆθος, οὐ τὴν φωνὴν τοῦ Βάττου. οἱ δὲ τὸ 'γλῶσσαν κτλ.' V 80. καὶ τοῦτο ἑαυτῷ συνᾴδων ὁ Δίδυμος οὕτως ἀποδίδωσιν· ἐπεὶ ὁ Ἀπόλλων ἔχρησεν οἰκίσαι τὴν Κυρήνην, αἴτιος ἐγένετο τοῦ φυγεῖν τοὺς θῆρας. οἰκιζομένης γὰρ τῆς πόλεως ἔφυγον. μενόντων δὲ τῶν θηρίων οὐκ ἂν ᾠκίσθη ἡ Κυρήνη.

Didymi interpretationem depellit Aristarchi sententiae addictus Boeckh. expl. Pind. p. 288.

27.

Schol. Pyth. ϛ 35 *Μεσσανίου δὲ γέροντος·* — δοκεῖ δὲ τῷ Διδύμῳ ἐκ τῆς Τριφυλιακῆς Πύλου εἶναι τὸν Νέστορα, ἔνθα καὶ Ἀμαθόεις ἐστὶ ποταμὸς καθ' Ὅμηρον.

'Pindaro Nestor non ex Triphyliaca Pylo est, quae Homeri sententia recte habetur a Strabone et Didymo apud schol. h. l. Pindaro consentiunt alii et in iis ipsi Pyli Messeniacae incolae ap. Paus. III 26, 6 IV 36 et plures antiquiorum, quos nominat Mueller. Orchom. p. 365, etiam Ovid. Metam. XII 549.' Boeckh. expl. Pind. p. 299.

28.

Schol. Pyth. VII 4 p. 392 *ἐπεὶ τίνα οἶκον [ναίων] ὀνυμάξομαι·* ἰδίως δὲ τὸ ναίων παρείληπται. ὅθεν τινὲς γράφουσι *ναίοντα.* ἄλλοι δὲ γράφουσιν *οἶκον τ' ἀΐων*, ὅ ἐστιν ἀκούων, ἀφαιροῦντες τὸ ν· ἕτεροι δὲ πάλιν τὸ μὲν ν αἴρουσι, τὸν δὲ τόνον οὕτω προφέρονται, *αἰῶν'*, ἵν' ᾖ συναλοιφὴ ἀντὶ τοῦ αἰῶνι, οἷον τῷ αἰῶνι ὀνυμάξομαι, τῷ αἰῶνι παρακαταθήσομαι. ὁ δὲ Δίδυμος (Gott. Ἀπολλώνιος, mira varietas; fortassis leg. Δίδυμος Ἀπολλωνίου) ἁπλούστερον ἀκούει· αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι, ἀντὶ τοῦ οἰκῶν. τίνα ἐπιφανέστερον οἶκον ὀνυμάξομαι οὐκ ἐξ ἀκοῆς ἀκηκοώς, ἀλλ' αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι τίνα δυναίμην ἀντ' αὐτῆς ἐπιφανεστέραν ὀνομάσαι.

Varias vv. dd. coniecturas ad h. l. collegit Th. Bergk. ed. alt. p. 126, quibus adde ὑμῶν, quod coni. Ed. Woelfflin. Basileensis in Schneidewini Philol. VII 1 p. 210.

29.

Pyth. *Η* 113 Ἥρας τ' ἀγῶν' ἐπιχώριον· — *Δίδυμος δέ φησι τὰ Ἑκατόμβαια αὐτὸν νῦν λέγειν ἐπιχώριον ἀγῶνα Αἰγινητῶν διὰ τὴν συγγένειαν.*

De Heraeis sive Hecatombaeis ab Aeginetis Argis traductis Boeckh. expl. Pind. p. 317 conferri iubet O. Mueller. Aeginet. p. 149. — 'Vid. C. I. n. 1121. 1122. 1124 Corsin. diss. ag. p. 80 Mionnet descr. II p. 234 n. 44' ap. Krausium in Paulyi Real-Encycl. III p. 1149 Curtius Peloponn. II p. 310 adn. 13 et indd. II p. 614 s. v. '*Heradienst*'.

30.

Pyth. *Θ* 177 p. 408 *βαθυκόλπου Γᾶς ἀέθλοις· τὸ δὲ Γῆς, ὅτι καὶ αὐτῆς ἀγὼν ἄγεται ἐν Ἀθήναις, ὥς φησι Δίδυμος.*

'Quid dicam de *Telluriis?* Cyrene enim Hypsaei filia aviam habuit Creusam, cuius mater Tellus (v. 17, cf. v. 62).' Boeckh. expl. Pind. p. 328.

31.

ibid. 207 p. 409 *Λίβυς ὄνομα κύριον, οὐχ ὁ Ἀνταῖος, ὡς Δίδυμος.*

Boeckh. quoque p. 329 Antaeum intellegit. Nostrum scholion idem scripsit, qui v. 214 adnotat *ἐκ τούτου δῆλον, ὅτι ὁ Ἀνταῖος οὐκ ἔστιν κτέ.*

32.

Pyth. *Ι* 56 *ὀρθιᾶν κνωδάλων· ταῦτά, φησιν ὁ Δίδυμος, μετὰ τοῦ γελοίου καὶ ἄσεμνά ἐστιν. τίνα γὰρ λόγον ἂν ἔχοι ἥδεσθαι τὸν Ἀπόλλωνα τοῖς ὀρθιάζουσιν ὄνοις [φησίν];*

Cf. Boeckh. expl. Pind. p. 335. Insulsa Didymi vituperatio est.

33.

Nem. *A* inscr. *γέγραπται ὁ ἐπίνικος Χρομίῳ Αἰτναίῳ. Ἱέρων γὰρ οἰκιστὴς ἀντὶ τυράννου βουλόμενος εἶναι Κατάνην ἐξελὼν Αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας, καὶ ἐν ταῖς ἀναῤῥήσεσιν ἔν τισι τῶν ἀγώνων Αἰτναῖον ἑαυτὸν εἶπε. ταὐτὸν δέ, φησὶν ὁ Δίδυμος, εἰκὸς παθεῖν καὶ τὸν Χρόμιον ἑταίρῳ κεχρημένον αὐτῷ.*

Fortasse Timaei etiam memoria Didymo debetur. Dignus est, qui inspiciatur Dissen. expl. Pind. p. 384 sq. ed. Boeckh.

34.

ibid. 7 *Ζηνὸς Αἰτναίου χάριν· — πιθανὸν οὖν φησιν ὁ Δίδυμος καὶ τὸν ἐπὶ τῆς Χρομίου Νεμεακῆς νίκης ἐπίνικον ἕνεκα τούτου συντετάχθαι, ὑπὲρ τοῦ μέλλειν αὐτὸν ὑπὲρ τῆς πανηγύρεως ᾀσθήσεσθαι.*

35.

ibid. 36 *τέχναι δ' ἑτέρων ἕτεραι· — ἢ τέχνας, φησὶν ὁ Δίδυμος, ἀκουστέον τοὺς δόλους, ὅθεν καὶ τὸ ἀτεχνῶς παρὰ τοῖς Ἀττικοῖς· ἄλλαι δ' ἄλλων ἐπιτεχνήσεις. εἴρηται δὲ παρὰ τὸ Ὁμήρου* (*Ν* 730)·

ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα.

36.

Nem. *B* 19 p. 438 *ζητεῖται, διὰ τί δήποτε τὰ περὶ Σαλαμῖνα εἰς τοὺς περὶ Τιμόδημον λόγους προῆκται. οὐ γὰρ δήπου Σαλαμίνιος ἦν. ἄντικρυς γὰρ αὐτὸν Ἀχαρνέα φησὶ τὸν δῆμον. Ἀρίσταρχος μὲν οὖν τῆς Αἰαντίδος φυλῆς εἶναι, οὐκ ὀρθῶς δέ, φησίν. οἱ γὰρ Ἀχαρνεῖς τῆς Οἰνηΐδος φυλῆς εἰσιν. οἱ δὲ περὶ Ἀσκληπιάδην φασίν, ὅτι εἰκός ἐστιν εἶναι αὐτὸν τῶν τὴν Σαλαμῖνα κληρουχησάντων Ἀθηναίων. εἰκὸς οὖν αὐτὸν γεννηθέντα Ἀθήνησι τεθράφθαι ἐν Σαλαμῖνι. Δίδυμος δέ φησιν, ὅτι ἴσως ἄμεινον λέγειν, ὅτι εἰς Αἴαντα ἀνέφερε τὸ γένος, ὥσπερ καὶ Μιλτιάδης καὶ Κίμων καὶ Ἀλκιβιάδης καὶ Θουκυδίδης ὁ συγγραφεὺς ὁ Ὀλόρου.*

Cf. libri nostri cap. 27 n. 6, ubi conieci *Κίμων οἱ Λακκιάδαι.*

37.

Schol. Nem. *Γ* 1 p. 440 *ἐζήτηται δέ, πῶς ἐπικαλεῖται τὴν Μοῦσαν ἐλθεῖν εἰς τὴν Αἴγιναν ὑπὲρ τοῦ τὸν ὕμνον ᾀσθῆναι, καὶ ἅμα τοὺς νεανίσκους φησὶ μένειν, δι᾽ οὓς αὐτὴν ἐπικαλεῖται, οὐκ ἐν Αἰγίνῃ, ἀλλ᾽ ἐν Νεμέᾳ, ὁ γὰρ Ἀσωπὸς οὐκ ἐν Αἰγίνῃ ἀλλὰ περὶ Φλιοῦντά ἐστι καὶ Νεμέαν. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν ..... ὁ δὲ Δίδυμος διηπατῆσθαί φησιν τοὺς ὑπομνηματισαμένους τῇ ὁμωνυμίᾳ τῶν ποταμῶν· οἱ γὰρ Ἄσωποι πλείους, ὧν ἕνα φησὶν* (sic Boeckh., codd. *φασίν*) *εἶναι καὶ τὸν ἐν Αἰγίνῃ. ὁ δὲ Καλλίστρατος Ἀσωπίδα ἐν Αἰγίνῃ. δύναται δὲ καὶ κτέ.* Verum perspexit Callistratus eumque secutus Didymus. Cf. Mueller. Aeginet. p. 6. 10, Dissen. expl. Pind. p. 364. 382.

[38.]

Schol. Nem. *Γ* 16 *ἄρχε δ᾽, οὐρανῷ πολυνεφέλα κρέοντι θύγατερ· — βέλτιον δέ φησιν ὁ Πίνδαρος* (sic vulg., Heynius coni. *ὁ Δίδυμος*, idem voluisse Bergkius videtur ed. alt. p. 158, Boeckhius tutissimum duxit lacunam statuere) *ἀκούειν τὸ ὅλον οὕτω· τοῦ πολυνεφέλου κρέοντος οὐρανοῦ θύγατερ, τοῦ Διός. κρέων γὰρ οὐρανοῦ ὁ Ζεύς, Διὸς δὲ Μοῦσαι.*

Loco et illustrando et emendando impares fuerunt veteres grammatici Aristarchus Ammonius Didymus. Neque sufficiunt quae Ludolphus Dissen. expl. Pind. p. 365 attulit '*praei vero Iovi hymnum, filia; h. e. doceri autem cupio a te hymnum Iovi.*' Hoc tamen sensit Didymus, de Iove, non de Urano sermonem esse. Primus Bergk. ed. alt. p. 158 scripsit *οὐρανοῖο πολυφίλα κρέοντι θύγατερ*, quod amplector.

39.

ibid. 71 *ψεφηνὸς ἀνὴρ — ποδί· — ὁ δὲ Δίδυμος· οὐδέποτε καταβὰς ἐπὶ πρᾶγμα ἵσταται, ἐνέμεινε ἐπ᾽ αὐτοῦ καὶ ἐνεκαρτέρησεν, ἀλλ᾽ εἰς πολλὰ καὶ ἄλλα μετατρέπει.*

40.

Schol. Nem. *Δ* 3 p. 450 *θέλξαν νιν ἁπτόμεναι· τὸ νίν Ἀρίσταρχος ἐπὶ τῆς εὐφροσύνης ἀκούει, ὥστε εἶναι*

τὸν λόγον· αἱ δὲ τῶν Μουσῶν θυγατέρες αἱ ᾠδαί, τουτέστι τὰ ποιήματα, ἁπτόμεναι αὐτὴν τὴν εὐφροσύνην ἔθελξαν τὴν τοῦ ἀνθρώπου, ὅταν ἐγκωμιάζηται. ἔστι δὲ ἄκυρον. οὐ γὰρ θέλγεται εὐφροσύνη, αὐτὴ θέλγουσα τοὺς νενικηκότας, οὐχ ὑπ' ἄλλου θελγομένη. ἄμεινον δέ, φησὶν ὁ Δίδυμος, ἐπὶ τῶν πόνων ἀκούειν τὴν νίν. (οἱ γὰρ μεθ' Ὅμηρον οὐκ ἀκριβεύουσι τὴν ἀντωνυμίαν. ὡς καὶ Εὐριπίδης·

τοιγάρ νιν αὐτὰς ἐκ δόμων οἴστρησ' ἐγώ.)

ὥστε τὸν λόγον εἶναι τοῦτον· αἱ ᾠδαὶ ἔθελξαν αὐτοὺς τοὺς πόνους ἁπτόμεναι αὐτῶν· οἷον θέλγουσι τὴν κακοπάθειαν ὑμνοῦσαι αἱ ᾠδαί.

Valcken. Diatr. p. 153 B in Eurip. Bacchab. 32 pro νίν scripsit νύν. Nihilominus recte habent quae Didymus de plurativa pronominis νίν vi observavit. Cf. Apoll. de pron. (p. 102 A) p. 108 A—C schol. Soph. O. C. 43 διὸ τὸ χ. Erfurdt. ad Soph. O. T. 878 Matth. Gr. Gr. I p. 274 ed. 2 Krueger. Gr. Sprl. II p. 66. — L. Dissen. expl. Pind. p. 380 'nunc omisit,' inquit, 'ἀνδρί, quod per se inest in sententia. Vides quo referam sequens νίν.' Ac memini sane in scolio esse ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ, at negaverim vocabulum referri posse ad alterum plane omissum nec necessario subaudiendum. Magis igitur Didymi ratio mihi placet supplendi τὸν πόνον, τὴν κακοπάθειαν, τοὺς πόνους.

41.

ibid. v. 14 τό μοι — προκώμιον εἴη· — δύναται καὶ οὕτω, φησὶν ὁ Δίδυμος· παντὸς τοῦ ποιουμένου εἰς αὐτὸν ὕμνου τοῦτο τὸ ῥῆμα προκώμιον εἴη, οἷον προοίμιόν τι τοιοῦτον γένοιτο τῶν εἰς αὐτὸν γραφησομένων ὕμνων ὑπ' ἐμοῦ, νικῆσαι καὶ ἄλλους ἀγῶνας· ἵνα τῶν ἑξῆς ἐπομένων ἐπινικίων ὁ νῦν γραφόμενος λέγηται πρὸ παντὸς κώμου γεγονώς. δύναται δὲ καὶ οὕτω· τῶν γραφησομένων αὐτῷ ὕμνων ὑπ' ἄλλων ὁ ἐμὸς ἂν εἴη προκώμιον. ὁ δὲ νοῦς· ὅνπερ δὴ λόγον καὶ ἔπαινον γένοιτο νῦν ἐμοὶ θεῖναι καὶ πληρῶσαι προκώμιον τῷ τε Διῒ καὶ αὐτῇ τῇ Νεμέᾳ καὶ τῇ Τιμησάρχου πάλῃ.

Rectius Didymo, cuius tamen interpretatio haud absona est, Dissen. expl. Pind. p. 381.

42.

ibid. 95 p. 456 *τᾷ Δαιδάλου δὲ μαχαίρᾳ· Δίδυμος δέ φησι· γράφειν δεῖ διὰ τοῦ ω μεγάλου. δαιδάλῳ δὲ μαχαίρᾳ δόλον ἤρτυσε, παρελόμενος αὐτοῦ κρύφα, ἵνα χωρὶς ἀμυντηρίου ἁλοὺς ὑπὸ τῶν Κενταύρων φθαρῇ. ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως·*

ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν,
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις,
ὡς τὴν μαστεύων οἷος κατὰ Πήλιον αἰπύ
αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη.

Δαίδαλον δὲ εἶπε τὴν μάχαιραν διὰ τὸ ὑπὸ Ἡφαίστου κατεσκευάσθαι. ἐπιεικῶς δὲ τὰ Ἡφαίστου ἔργα δαίδαλά φησι (*Σ* 481)·

ποίει δαίδαλα πόλλ' εἰδυίῃσι πραπίδεσσιν.

In cod. scriptum erat *ΔΑΙΔΑΛΟ*, quod erant, qui *Δαιδάλου* legerent et qui *δαιδάλῳ*. Atque hoc unice verum esse articuli *τᾷ* vis demonstrat. '*Hoc ipso vero ense*, quem ab Acasto subductum Peleo esse nemo nescit, *affabre facto* et q. s.' Itaque recte Boeckh. in nott. critt. et L. Dissen. in expl. Pind. p. 386 Didymo calculos addiderunt, quidquid contra dicat Bergk. Pind. ed. alt. p. 164.

43.

ibid. 151 p. 459 *οἷον αἰνέων κε Μελησίαν· ὁ Ἀρίσταρχος ψιλοῖ τὸ οἷον κτλ. δύναται δὲ καὶ δασέως ἀναγιγνώσκεσθαι τὸ οἷον, θαυμαστικῶς, ὥς φησι Δίδυμος.*

Dissenio quoque in expl. Pind. p. 390 *οἷον*, ut est in libris atque a Bergkio p. 166 receptum, *θαυμαστικόν* est ex Homerica consuetudine.

44.

ibid. 153 *ἀπάλαιστος ἐν λόγῳ ἕλκει· τοῦτό ἐστι καὶ ἐπὶ τοῦ Μελησίου ἀκούειν, ὥς φησι Δίδυμος, οἷον· ἀκαταπάλαιστός ἐστι πρὸς τὸν ἕλκοντα αὐτὸν ἐν λόγοις, ὡς καὶ λογίου ὄντος τοῦ Μελησίου.*

A vero longius abest Didymus. Nam aperte de Euphane loquitur Pindarus. Neque scio, cur locum perobscurum queratur Bergkius.

45.

Schol. Nem. *E* 10 p. 461 *οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν· — Δίδυμος δὲ βέλτιόν φησι μὴ τὸν καρπόν, ἀλλὰ τὴν ὥραν ἀκούειν, καθ' ἣν ὁ καρπὸς ὁμώνυμος πεπαίνεται. ὅτι δὲ καλοῦσι τὸν καιρὸν ὀπώραν, Ὅμηρος* (ξ 384)·

καὶ φάτ' ἐλεύσεσθαι ἢ ἐν θέρει ἢ ἐν ὀπώρῃ.

θέλει οὖν λέγειν, ὅτι οὔπω καιρὸν τοῦ γενειάσκειν ἔχων. οἰνάνθην γὰρ κατὰ μεταφορὰν τὸν ἴουλον εἴρηκε, τουτέστι τὴν πρώτην τῶν γενειάδων ἀνάφυσιν· μήτηρ δὲ τοῦ γενειάσκειν γίγνεται ἡ ὥρα.

H. l. Didymus poetàe mentem percepit. Cf. Chaerem. Athen. XI p. 608 (tr. Gr. III p. 133 ed. Wagn.) appositum a Dissen. expl. p. 392. 393. Homeri locus docet in scholl. nostris Didymi adnotationem olim exstitisse nunc deperditam de lectione *ἐν* pro *ἐς*.

46.

Nem. ς 30 (38) *Σωκλείδα· ὁ δὲ Δίδυμος Σωκλῆς ἐστι τὸ ὄνομά φησι. παρήγαγε δὲ αὐτὸ πατρωνυμικῶς, ὡς ἔθος ἐστὶ τοῖς ποιηταῖς.*

Soclem appellatum vult nescimus qua fretus auctoritate. Tamen auctorem ab eo appositum fuisse credo. Habebat enim *ἀναγραφὰς Νεμεονικῶν*, cf. schol. Nem. VIII 1 Isthm. *γδ* inscr. Uti hoc etiam exemplo Nauckius poterat in Ar. Byz. p. 2 n. 3 T. Hemst. ad Lucian. Tim. p. 157 et ad schol. Arist. Plut. v. 926 vol. I p. 281 Ddf. Gerhard. de Aristarcho p. VI.

47.

ib. 53 p. 470 *Βασσίδαισιν ἅτ' οὐ σπανίζει· ὁ Δίδυμός φησι· προσήκει γράφειν Βουδίδαι(σιν). γενέσθαι γάρ τινα Βουδίωνα ἐν Αἰγίνῃ, ἀφ' οὗ κατάγεσθαι γενεὰν τὴν Βουδιδῶν. μνημονεύειν δέ φασι Βουδίωνος Πυθαίνετον ἐν πρώτῳ Αἰγινητικῶν γράφοντα οὕτω 'περὶ*

δὲ ταῦτα τούτων λεγομένων λέγεται Βουδίωνα τυγχάνειν διενηνεγμένον πρὸς Οἰνώην τὴν ἑαυτοῦ θυγατέρα.'

Nemo obsecutus est Didymo coniectori audacissimo. Cf. Mueller. Aeginet. p. 135 Dissen. l. l. p. 402 Tych. Momms. Mus. Rhen. l. l.

48.

Nem. Z 47 *τεθνακότων βοαθόων· πρὸς τὸ ἓν ἀκουστέον ἄχρι τοῦ ἐπεὶ πράθε, καὶ γραπτέον ἐν τῷ ε ἔμολεν, ὡς Δίδυμος. τὸ δὲ ὅλον τοιοῦτον· ἔμολε παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου χθονὸς Νεοπτόλεμος, Πριάμου πόλιν ἐπεὶ πράθεν· τεθνηκότων δὴ τῶν βοηθῶν ἐν Πυθίοις δαπέδοις κεῖται.*

Aristarchi quoque memoriam p. 478 Didymus redintegrasse videtur. Legit igitur et distinxit e coniectura, ni fallor, Didymus sic:

> *ὧν θεὸς ἁβρὸν αὔξει λόγον· τεθνακότων*
> *βοαθόων τοι* (sic) *παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου*
> *μόλεν χθονὸς ἐν Πυθίοισι δὴ* (sic) *δαπέδοις*
> *κεῖται Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν.'*

qua verborum structura nil contortius potuit excogitari. Quidni e *ΜΟΛΟΝ* elicuit *μολών*? Eleganter Dissen. et Boeckh. expl. Pind. p. 424. 25 interpretati sunt. — De re cf. R. Stiehlium in Philol. VIII 1 p. 72.

49.

ib. 56 *Μολοσσίᾳ δ' ἐν βασίλευεν ὀλίγον χρόνον· παρεκβαίνει δὲ εἰς τὰ Νεοπτολέμου, ὡς μὲν Ἀρίσταρχος, ὅτι νικήσας καὶ χαρισάμενος τὴν ἀνάῤῥησιν τῷ Σωγένει Νεοπτόλεμος ἦν Ἠπειρώτης τὸ γένος, ὅπερ οὐχ οὕτω φησὶν ἔχειν ὁ Δίδυμος. ὡς δὲ Ἀριστόδημος* (Boeckh. scr., vulg. *Ἀρίσταρχος*), *ὅτι ἀλείπτῃ ἐκέχρητο τῷ Νεοπτολέμῳ. διὸ εἰς ἔπαινον τοῦ ὀνόματος τῷ ἡρωικῷ κέχρηται παρεκβάσει.*

Neoptolemi cur meminerit poeta, exponit Dissen. p. 416. 7.

50.

ib. 89 (90) *ξεῖνός εἰμι. σκοτεινὸν ἀπέχων ψόγον.* Recedens ab aliorum interpretatione, qui *οὐδείς με*

ψέγει intellegerent, Didymus *οὐδένα ψέξω* vertit. *Δίδυμος δέ, οὐδένα ψέξω, φησί, καὶ ὅτι τοῦτο οὐκ ἀλλότριον τοῦ Πινδάρου, ἀλλὰ ... πολλὰ γὰρ αὐτῷ τοιαῦτα εἴρηται. τοῦτο δὲ λέγει, παρὸ εἰώθασιν οἱ πολῖται ἀεὶ φθονεῖν τοῖς κατά τι προέχουσι. διὰ τοῦτό φησιν ὁ Πίνδαρος ξένος εἶναι καὶ τὸν σκοτεινὸν ψόγον ἄποθεν ἔχειν. καὶ οὐδένα, φησί, ψέξω, μᾶλλον δὲ τὸ κλέος τὸ ἀληθὲς ὥσπερ ὕδατος ῥοὰς εἰς τὸν φίλον ἄγων ἄνδρα αἰνέσω, ὡς ὕδωρ ὀχετηγός. ὡς γὰρ ἐκεῖνος ἀμφυτὰ* (?) *ἄγων τὸ ὕδωρ ἐπὶ τὰ δένδρα τρέφει αὐτά, οὕτω κἀγὼ τὰς τοῦ ὕμνου ῥοὰς ἐπὶ τὸν φίλον ἄνδρα ἐπαινέσω καὶ αὐξήσω τὸ κλέος.*

Ἀμφυτά aut ex sequentibus *ἔμφυτον γὰρ τοῖς πολίταις* natum, aut ex *ἀψαύστως* corruptum. — H. l. etiam Didymum Pindari non perspexisse mentem docent quae Dissen. p. 431—3 explicatissime dixit, verum revelare Didymo ipse Pindarus poterat v. 64 [94] *Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνήρ.*

51.

Inscr. Nem. *Η ἔνιοί φασι σταδιεῖς αὐτόν τε τὸν Δεινίαν καὶ τὸν πατέρα, καὶ τοῦτο βλέποντα τὸν Πίνδαρον* (v. 26) *'Δείνιδος δισσῶν σταδίων καὶ πατρὸς' εἰπεῖν. παρέχει δέ, φησὶν ὁ Δίδυμος, τοῦτο ἀπορίαν, τὸ μηδέτερον αὐτῶν ἐν τοῖς Νεμεονίκαις ἀναγεγράφθαι.*

Dissen. p. 443 comparat schol. Isthm. I 11.

52.

Nem. Θ 95 p. 497 *ἀμφ' ἀκταῖς Ἑλώρου· — περὶ δὲ τούτου τοῦ πολέμου Τίμαιος ἐν τῇ δεκάτῃ δεδήλωκε. καθάπαξ γάρ, φησὶν ὁ Δίδυμος, οὐδεμίαν ἄλλην μάχην ἔχομεν εὑρεῖν περὶ τὸν Ἕλωρον τῶν συνηκμακότων τῷ Χρομίῳ τυράννων, ὅτι μὴ σὺν Ἱπποκράτει τοῦ Γέλωνος πρὸς Συρακουσίους. ὅτι μὲν οὖν Γέλωνα ἱππαρχεῖν κατέστησεν Ἱπποκράτης, σαφὲς ὁ Τίμαιος ποιήσει γράφων οὕτως· Ἱπποκράτης δὲ μετὰ τὴν Κλεάνδρου τελευτὴν ἅμα μὲν τοῦ Γέλωνος ἐν τῇ τεταγμένῃ μεμενηκότος, ἅμα δὲ τοῖς Γελῴοις χαρίσασθαι βουλόμενος, μεταπεμψάμενος αὐτὸν καὶ παρακαλέσας πρὸς τὰς πράξεις, ἁπάντων τῶν ἱππέων ἐπιμέλειαν ἐκείνῳ παρέδωκε. ὡς δὲ καὶ ὁ Γέλων*

τῷ Χρομίῳ ἐχρῆτο ἑταίρῳ, δῆλον πάλιν ἐξ ὧν φησι Τίμαιος ἐν τῇ δευτέρᾳ γράφων οὕτως· ἐπιτρόπους δὲ τοῦ παιδὸς μετ' ἐκεῖνον κατέστησεν Ἀριστόνουν καὶ Χρόμιον τοὺς κηδεστάς, τούτοις γὰρ ὁ Γέλων δέδωκε τὰς ἀδελφάς. Dissen. p. 460 conf. iubet Herod. VII 154 ed. Wess. Goeller. fr. Sic. p. 307; de fluvio Heloro Cluver. Sic. ant. I 13 Heyn. Verg. Aen. III 698. Adde Thucyd. VI 70.

52.

Nem. *I* 51 *σεμνοῖς δαπέδοις· τοῖς Νεμείοις, φησὶν ὁ Δίδυμος· πλησίον γάρ ἐστι Σικυῶνος· Ὅμηρος* (*B* 572)·

ἔνθ' Ἄδρηστος πρῶτ' ἐμβασίλευσεν.

53.

ib. 114 p. 507 *ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει ἡμένους· ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις*[1]) *λεγομένῃ ἱστορίᾳ· ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῇ δρυῒ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος* (III 11, 2) *κατηκολούθησε. πρὸς οὓς φησι Δίδυμος, ἀμφοτέρων ὑπὸ τῇ δρυῒ λοχώντων, τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε* (l. *ἀνεῖλε*). *μήποτε οὖν δεῖ, φησίν, ἀναγιγνώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως ἡμένος ἢ διὰ τοῦ ως ἡμένως, ἵνα κατ' ἀμφοῖν ἀκούηται· ὁ δὲ Λυγκεὺς δρυὸς ἐν στελέχει ἡμένος, ἀντὶ τοῦ ἡμένους, δηλονότι τοὺς Διοσκούρους· ὡς ἀελλόπος καὶ τρίπος* (Il. *Ω* 77), '*οὐχ ἕδος ἐστί, γεραιέ*', *ἀντὶ τοῦ οὐχ ἕδους* (Il. *X* 164).

Boeckh. et Dissen. p. 474, cum certum habeant, Pindarum in nulla re a carminibus Cypriis discessisse, scribunt *ἡμένους*. Eandem lectionem Bergkius p. 193 recepit, ceterum in hoc falsus, quod a Didymo Aristarchi lectionem *ἥμενον* contra grammaticos *ἥμενος* scribentes defensam esse dicit. E codicibus unus Augustanus C exhibet

1) In Cypriorum fragmento Boeckhii *ἡμένω ἄμφω κοίλης* ferri nequit, quod *κοῖλος* h. e. *κόϊλος* primam syllabam nisi in thesi non habet, quamquam *δείλη* ab aliis *δεῖλη* pronunciatum in arsi admittitur.

ἥμενος, alii ἡμένως. Thiersch. ἡμένῳ coniecit. Lenissima profecto atque unice apta est Didymi medela. *HMENOC* enim legi potest ἡμένους. — V. Wolff. schol. Soph. La. p. 19 et schol. Soph. Ant. 798 (παρέδρος et πάρεδρος).

54.

Inscr. Nem. *IA* p. 510 οὐδὲ ὅλως, φησὶν ὁ Δίδυμος, ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς τοὺς ἐπινίκους συνενῶσθαι· οὐ γὰρ ἱερὸν ἀγῶνα νενίκηκεν ὁ Ἀρισταγόρας, ἀλλὰ περιχώρους. γεγράφθαι (δέ) φησι τὴν ᾠδὴν εἰς πρυτανεύοντα καὶ τῆς πόλεως προεστῶτα τὸν Ἀρισταγόραν, σαφὲς δὲ τοῦτο ἐξ ὧν φησιν (v. 10)· ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περάσει. ἠπατῆσθαι δέ φησιν ὁ Δίδυμος ἐνίους, ὡς δοκεῖν ἱεροὺς στεφάνους αὐτὸν ἀνῃρῆσθαι. διὰ τῆς ᾠδῆς δὲ σημαίνεται, ὅτι στεφάνους ἔσχεν ὡς δέκα ἕξ, ἀλλ' οὐχὶ περιοδικούς, ὡς ἐπλανήθησαν ἐκ τοῦ λέγεσθαι· ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων. οὐ γὰρ σημαίνει διὰ τούτων, ὡς Ἴσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ, ἀλλὰ τοὐναντίον οἱ γονεῖς δι' εὐλάβειαν συγγενικὴν οὐκ ἀπέστειλαν αὐτὸν ἐπὶ τοὺς ἱεροὺς στεφάνους, ἐπεὶ κἂν Ἴσθμια καὶ Νέμεα εἰλήφει. ἐποίσει γάρ· ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου κάλλιον ἂν δηριώντων ἐνεστήσατ' ἀντιπάλων. ὀμνύει γὰρ ὁ Πίνδαρος, ὅτι κατὰ τὴν ἑαυτοῦ δόξαν, εἰ ἐξεδήμησεν εἰς Πυθῶνα καὶ Ὀλυμπίαν, κάλλιον ἂν τῶν ἀνταγωνιστῶν ἐπανεληλύθει εἰς τὴν πατρίδα, τουτέστιν ἐνίκησεν ἄν. νῦν δὲ ἐλπίδες ὀκνηρότεραι κατέσχον τῶν γονέων αὐτόν, διὸ οὐδ' ὅλως ἐξεδήμησεν. συντακτέον οὖν, φησὶν ὁ Δίδυμος εἰς τὰ παροίνια, καθὰ καὶ τοῖς περὶ τὸν Φασηλίτην ἀρέσκει. || ὅλως οὖν κτέ iam alius sunt.

'Voluit igitur Didymus ad σκολιά referre, nisi forte παρθένια scribendum, ut ad tertium librum Partheniorum, qui carmina miscella complectebatur, retulerit.' Bergk. ed. alt. p. 195. Prudenter Dionysio Phaselitae Didymus obsecutus est. Cf. Bernhardyus succinct. lit. Gr. hist. II 527.

55.

Schol. Isthm. *Α* 52 p. 520 *ἅ νιν ἐρειδόμενον· ἀμφίβολον δέ ἐστι, φησὶν ὁ Δίδυμος, πότερον τὸν Ἡρόδοτον ἢ τὸν Ἀσωπόδωρον λέγει· δύναται γὰρ ἐπ᾽ ἀμφοτέρων ἀκούεσθαι συντυχίᾳ.*

Recte alter schol. Asopodorum intellegit.

56.

ib. 60 — *βέλτιον δέ φησιν ὁ Δίδυμος τὸ εὐρόντεσσι τὸν ἀγάνορα κόμπον, τουτέστι τὸν ὕμνον εἰς τοὺς δαπάνῃ καὶ ἔργῳ κεκτημένους τὴν ἀρετὴν μὴ φθονεῖν. ὥστε καὶ τὸν Πίνδαρον μὴ δεῖν φθονεῖσθαι· διὰ τοὺς εἰς τὸν Ἡρόδοτον ἐπαίνους. λέγοι δ᾽ ἂν ἀγάνορα κόμπον τὸν ἐκ τῶν ἀγαθῶν ἔπαινον τὸν ἐκ τῶν ποιημάτων· τοῦτο δὲ σαφὲς ἐκ τοῦ ἐπιφερομένου.*

57.

ib. 67 *καὶ ὃν πόντος τρέφει· Χρύσιππος τὸν ἔμπορον, Δίδυμος δὲ τὸν ἁλιέα φησίν.*

Praeferenda Didymi interpretatio.

58.

Schol. Isthm. *Β* 19 *οὐκ ἀγνῶτ᾽ ἀείδω· ἔνιοι δὲ τὸ ἄγνωτα προπαροξύνοντες οὐ κατὰ συναλοιφὴν ἀκούουσιν ἀντὶ τοῦ οὐκ ἀγνῶτι ἀείδω, ἀλλ᾽ ἐπὶ αὐτοῦ (τοῦ νικηφόρου) καὶ τῆς Ἰσθμικῆς φασι νίκης λέγειν αὐτόν. οὐ περὶ ἀγνώτων φησὶν ᾄδω. ὁ δὲ Δίδυμος μειοῦσθαί φησι τὸ ἀξίωμα τοῦ ποιητοῦ, εἰ μηδέπω τοῦ ἐπινίκου συντεταγμένου γνώριμός ἐστιν ἡ τοῦ Ξενοκράτους νίκη. ἔμπαλιν γὰρ ὁ Πίνδαρος ἀφανεῖς καὶ ἀδόξους φησὶν εἶναι τὰς νίκας, εἰς ἃς αὐτὸς μηδὲν γέγραφε. γελοίως.*

'Quis *γελοίως*? Credo Didymus. Cf. schol. Isthm. III (IV) 47. 63.' Boeckh. p. 526. — Didymus igitur *ἀγνῶτι ἐκ πλήρους* legit, fortasse Callistrati sententiam amplexus.

59.

Ammon. de diff. p. 70 Valck. *Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν, καθὼς Δίδυμος ἐν ὑπομνήματι*

τῷ πρώτῳ τῶν παιάνων Πινδάρου φησίν, καὶ τὸν τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμηνὸν πρῶτον. τίς δ' ἐστὶ διαφορὰ Θηβαγενέων πρὸς Θηβαίους, Ἔφορος ἐν τῇ δευτέρᾳ φησί. οὗτοι μὲν οὖν συνετάχθησαν εἰς τὴν Βοιωτίαν, τοὺς δὲ τοῖς Ἀθηναίοις ὁμόρους προσοικοῦντας ἰδίᾳ Θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν. ὕστερον δὲ οἱ σύμμικτοι ἦσαν πολλαχόθεν, ἐγέμοντο δὲ τὴν ὑπὸ τὸν Κιθαίρωνα χώραν καὶ τὴν ἀπομάντιον τῆς Εὐβοίας. ἐκαλοῦντο δὲ Θηβαγενεῖς, ὅτι προσεγένοντο τοῖς ἄλλοις Βοιωτοῖς διὰ Θηβαίων.

Boeckhius II 2 p. 573 fr. 15 [38] et Th. Bergkius ed. alt. p. 238 fr. 44 in Gisb. Koenii emendatione (ad Greg. Cor. p. 225 = p. 475 Schf.), *Ἰσμήνιον ἱερόν* pro *Ἰσμηνὸν πρῶτον* acquieverunt. Ego in Philol. VII p. 749 correxi *Ἰσμηνίου ΗΡΩΙΟΝ*, cf. Alph. Hecker. epist. crit. in Schneidew. Philol. V 3 p. 422. Valck. anim. in Ammon. p. 97 *Ἰσμήνιον* adoptat et *εἰς τὸ Ἰ.* scribit. Ephori fragmentum (n. 26 vol. I p. 239 ed. Mueller.) C. O. Mueller. in Orchom. p. 397 hunc in modum restituit, ut scriberet *προσοικειοῦντες — οὐ πολλοῖς ἔτεσιν ὕστερον. Οὗτοι σ. — ἀπεναντίον.* Ceterum mihi Ephorum apposuisse Didymus videtur, cuius fortasse ne unum quidem verbum excerpsit Ammonius, si quidem recte conicio verba *καὶ τὸν τρίποδα — ἡρῷον* Ephori esse, post *Βοιωτοῖς διὰ Θηβαίων* transponenda. Cf. Herodot. V 59 Paus. IX 10 schol. Pind. Pyth. XI 5. De Ismenio Boeckh. expl. p. 337.

60.

Schol. Ol. *Α* 26 *περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν.* De Dorii toni indole morali vid. Boeckh. MP. p. 238.

61.

Schol. Ol. *Β* 70 *ἐν δὲ τοῖς Παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει·*

Λάιε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων.

62.

Schol. Pyth. ϛ 4 *ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται.* ibid. *ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται.* Cf. Boeckh. expl. Pind. p. 286.

63.

Schol. Pyth. *IB* 45 *εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς.* De hac formula *εἴρηται δὲ* dixerunt Boeckh. p. XVII. XVIII XXIX O. Schneider. de font. Ar. scholl. p. 14. 15.

64.

Schol. Arist. Plut. 9 *καὶ τὰ μὲν περὶ τοῦ Πινδάρου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς Πινδάρου ὕμνοις εὐκαίρως ἡμῖν διείληπται.*

De Didymo principali scholiorum nostrorum veterum in Pindarum fonte omnia, quae dici possunt, occupavit A. Boeckhius, dilectissimus praeceptor, in praef. ad scholl. p. IX — XVIII, persuasitque O. Schneidero Fr. Rittero Bernhardyo Schneidewino. Hunc igitur legi atque relegi iubeo. De antecessoribus vero Didymi, inprimis Aristarchi studiis Pindaricis, cum huius loci non sit disserere explanatius, data opera commentabor in Aristarchi fragmentorum, quam dudum molior, collectione.

7.

[*Αἰσχύλου ἐξηγήσεις.*]

Aeschyli lectionem apud Alexandrinos non plane quidem neglectam iacuisse G. Bernhardyum litt. Gr. hist. succinct. p. 782 recte conclusisse e schol. Theocr. X 18 (Hermann. opusc. V p. 12), ubi *Ἀρίσταρχος ἐν ὑπομνήματι Λυκούργου* laudatur, atque ex Hesychio *ἐναροφόρος*, q. l. *οἱ ὑπομνηματισταί* advocantur, mea etiam fert opinio, sed nostrum in Aeschylum quoque commentatum esse nusquam relatum inveni. Nihilo tamen secius, si quid in scholiis non plane contemnendum conspicitur, hoc soli Didymo acceptum esse referendum arbitror. Certe hypomnematistarum

memoria ab Hesychio l. l. propagata, ab uno Didymo in lexico tragico redintegrata videri poterit.

8.

Commentarii in Sophoclem.

(1) Schol. Laur. Soph. O. C. 156 *ἀλλ' ἵνα μὴ προσπέσῃς·* ἀντὶ τοῦ μὴ προσπέσῃς. καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν εἰώθαμεν λέγειν οὕτως, ἵνα παραγένῃ πρὸς ἐμέ, βούλομαί σοι σημαίνειν. οὕτω *Δίδυμος*.

(2) ib. 237 *ὦ ξένοι αἰδόφρονες·* τὸ τῆς Ἀντιγόνης πρόσωπον ὅλον καὶ τὸ τοῦ χοροῦ τὸ τετράστιχον ἀθετοῦνται. κρεῖττον γάρ φασιν εὐθέως τῷ δικαιολογικῷ χρήσασθαι τὸν Οἰδίπουν πρὸς αὐτούς. ἀλλὰ τὰ πράγματα αὐτοῖς οὐκ ἐν καιρῷ ἐστιν, ἀλλ' ἐν δυσπραγίᾳ, ὥστε ἐπαφρόδιτον εἶναι αὐτοῖς τὴν ἐλεεινολογίαν καὶ τοῦτο τὸ πρόσωπον ἡ Ἀντιγόνη πληροῖ. ἐπεὶ μέντοι οὗτοι οὐ πείθονται, τότε δικαιολογώτερον καὶ ὥσπερ ἀπολογούμενος ἐκφέρει τὰ ἑξῆς ὁ Οἰδίπους, ὅτι ἀκούσιά ἐστιν αὐτοῦ τὰ ἁμαρτήματα. καὶ εἰ ταῦτα τῆς ὁμοίας ἔχεται δυνάμεως τοῦ ποιητοῦ. καὶ καθόλου θαυμαστή τίς ἐστιν ἡ οἰκονομία τοῦ δράματος. οὐδὲν δὲ ἐν τοῖς *Διδύμου* τούτων ὀβελισθὲν εὕρομεν. Videtur Pii esse adnotatio Didymi verbis, in quantum potuit, servatis.

(3) ib. 763 *πεῖρα·* βαρυτόνως ἀναγνωστέον *πείρᾳ*, οὐ περισπωμένως. οὕτω *Δίδυμος*.

Laur. πείρᾶι (sic). Hermannus suspicatur Didymum legisse τί τῇδε πείρᾳ vel τί ταῦτα; πείρᾳ κἀμέ. Cf. Wolff. de schol. Laur. p. 229. Schneidewino iudice Didymus coniecit πείρᾳ (a πείραμαι derivandum) pro πειρᾶ (a πειρῶμαι) coll. schol. Odyss. λ 221 Il. Ξ 199 Lobeck. Phrynich. p. 359 sq., fieri tamen posse, ut Didymus contrarium adnotaverit *πειρᾷ·* περισπωμένως ἀναγνωστέον *πειρᾷ*, οὐ βαρυτόνως *πείρᾳ*. Cf. Jahrb. f. Philol. u. Paedag. 1853 LXVII p. 501.

(4) Ant. 4 *οὔτ' ἄτης ἄτερ·* *Δίδυμός* φησιν, ὅτι ἐν τούτοις τὸ 'ἄτης ἄτερ' ἐναντίως συντέτακται τοῖς συμφραζομένοις. λέγει γὰρ οὕτως· οὐδὲν γάρ ἐστιν οὔτε ἀλ-

γεινόν, οὔτε ἀτηρόν, οὔτε αἰσχρόν, ὃ οὐκ ἔχομεν ἡμεῖς. § *ἄτης ἄτερ δέ ἐστι τὸ ἀγαθόν. περισσὸν δέ ἐστι καὶ τὸ ἕτερον οὐ, ὥστε ὥσπερ ἀπόφασιν εἶναι. σύνηθες δὲ τοῦτο τραγικοῖς.* Vereor ne inveteratum h. l. vitium diutius se oculis criticorum subtraxerit. Intellegerem Sophoclis verba, hunc in modum si scripta essent: *οὐδὲν γὰρ οὔτ' ἀλγεινόν, ΟΥΚ ΑΤΗΣ ἄτερ, οὔτ' αἰσχρόν, οὔτ' ἄτιμόν ἐσθ' κτέ.* Cf. Soph. OC. 1707 Johns. *οὐκ οἴκτου μέτα.* Pind. Pyth. V 76 *οὐ θεῶν ἄτερ.* II 8 *ἅς οὐκ ἄτερ.* II 32 *οὐκ ἄτερ τέχνας.* Isthm. VI [V] 22 *οὐκ ἄτερ Αἰακιδᾶν.* Valet igitur *ἀλγεινὸν οὐκ Ἄτης ἄτερ* i. q. *ἀλγεινὸν Ἄτης ὕπερ.*

(5) ib. 45 *Δίδυμος δέ φησιν ὑπὸ τῶν ὑπομνηματιστῶν τὸν ἑξῆς στίχον νενοθεῦσθαι.*

(6) ib. 722 *εἰ δ' οὖν· εἰ δέ τις ἀνόητος εὑρεθῇ. Δίδυμος δέ φησι* . . . Didymi verba perierunt.

(7) Ai. 83 *Δίδυμος σημειοῦται τὴν φράσιν 'ἀλλ' οὐδὲ μὴ ἴδῃ πέλας.'* accessit e Flor. G.

(8) ib. 408 *δίπαλτος· ἀμφοτέραις ταῖς χερσίν, οἷον περιδεξίως με φονεύει. παντὶ σθένει, ὡς Δίδυμος, ἢ στρατός με φονεύοι λαβὼν τὰ δίπαλτα δοράτια, ὡς Πίος φησίν.*

(9) ib. 1225 *Δίδυμος· 'καὶ δῆλός ἐστιν, ὥς τι σημανῶν νέον.'*

(10) Athen. II p. 70 C *Δίδυμος δ' ὁ γραμματικὸς ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ κύναρος ἄκανθα 'μήποτε, φησί, τὴν κυνόσβατον λέγει, διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν. καὶ γὰρ ἡ Πυθία ξυλίνην κύνα αὐτὸ εἶπε καὶ ὁ Λοκρὸς χρησμὸν λαβὼν ἐκεῖ πόλιν οἰκίζειν, ὅπου ἂν ὑπὸ ξυλίνης κυνὸς δηχθῇ, καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου ἔκτισε τὴν πόλιν. ἔστι δὲ ὁ κυνόσβατος μεταξὺ θάμνου καὶ δένδρου, ὥς φησι Θεόφραστος καὶ τὸν καρπὸν ἔχει ἐρυθρὸν παραπλήσιον τῇ ῥοιᾷ· ἔχει δὲ καὶ τὸ φύλλον ἀγνῶδες.* Cf. p. 88.

9.

Ὑπομνήματα Εὐριπίδου.

(1) Eur. Androm. 329 schol. R. ap. Cobet. p. 37 W. *οὐκ ἀξιῶ οὔτ' οὖν σε Τροίας οὔτε σοῦ Τροίαν ἔτι·*

— *Δίδυμος μέμφεται τούτοις ὡς παρὰ τὰ πρόσωπα* (cod. *τούτους ὡς τὰ παρακαθεστῶτα*, emend. Cob.). *σεμνότεροι γὰρ οἱ λόγοι, ἢ κατὰ βάρβαρον γυναῖκα καὶ δυστυχοῦσαν.*

(2) ib. 363 schol. R. *ἕν σου δέδοικα· μὴ διὰ τὴν Ἑρμιόνην με ἀπολέσῃς, ὥσπερ διὰ τὴν Ἑλένην τὴν Τροίαν. Δίδυμος μέμφεται πᾶσι τούτοις ὡς παρὰ καιρὸν καὶ τὰ πρόσωπα.*

(3) ib. 867 schol. vol. V p. 585 ed. Matth. *ὄνομα δ' Ὀρέστης· ἐκβληθεὶς τοῦ Ἄργους ὁ Ὀρέστης ἀπῄει εἰς τὸ ἱερὸν τοῦ Διὸς τὸ ἐν τῇ Δωδώνῃ μαντευσόμενος* (sic Gu. Taur. Flor. 6. 15 pro *μαντευόμενος*), *ποίαν οἰκήσει πόλιν. ἀπιὼν οὖν ἔρχεται εἰς τὴν Φθίαν. Δίδυμος δὲ ταῦτά φησιν εἶναι ψευδῆ καὶ ἄπιστα* (Gu. *Δίδ. δέ φ. ψ. τ. καὶ ἄπ.*).

(4) ib. 1054 p. 41 ed. Witzsch. *οὐδέν εἰμ', ἀπωλόμην· ἐγκαλεῖ Δίδυμος καὶ εὐεπίληπτόν φησι τὸν αὐτὸν ἐν πάθει ὄντα λέγειν· οὐδέν εἰμι, φρούδη μὲν αὐδή. παρὰ τῷ Ὁμήρῳ* (*P* 695 *δ* 704) '*δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε.*'

(5) [ib. 1238 *Ἀχίλλειοι δρόμοι· περὶ ὧν ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις εἴρηται.* Recepi propter usum voc. *εἴρηται* notissimum.]

(6) Alcest. 255 vol. V p. 521 Matth. *γαῖά τε καί· εἰκῆ φησι δεδόσθαι τὰ περὶ τῆς ἐν τῷ Ἀχέροντι πορθμείας, ὡς μαρτυρεῖ καὶ Δοῦρις ἐν τῇ ις τῶν Μακεδονικῶν* (vulg. *Λακεδαιμονικῶν*), *ὅτι ἐν Ἰωλκῷ ἐνυμφεύθη. Ἰωλκοῦ γὰρ Πελίας ἐβασίλευσεν.*

Matthiae haec adnotat 'Sed quid verbis *εἰκῆ φησι δεδόσθαι* etc. faciam non habeo. Fort. vv. *εἰκῆ φ. δ.* [*τὰ ἕδνα, ὅτε ἐνυμφεύθη ἐν Ἰωλκῷ, ὡς μαρτ.* etc.] ad vv. 255 sqq., reliqua [*ταῦτα φησὶ*] *περὶ τῆς ἐν τοῦ Ἀχ. π.* ad vv. 260 sqq. referenda sunt.' Pro *δεδόσθαι* legendum *διαδεδόσθαι*, cf. Hes. *ὀρείχαλκος*.

(6) Tr. 1071 Hes. *αἰθέρα· ἐμπυρισμὸν ἀπὸ τοῦ αἴθεσθαι. Εὐριπίδης Τρῳάσιν* supra p. 89 attuli, cum de lexico tragico dicerem.

(7) Med. 149 t. V p. 349 Matth. *ἄϊες ὦ Ζεῦ· τὸ ἄϊες ὁ Δίδυμος ὡς πρὸς τὰς τοῦ χοροῦ φησι λέγεσθαι·*

ἠκούσατε, καὶ οὐ πρὸς τὸν Δία. ἐν ἤθει οὖν τὸ Ζεῦ καὶ γᾶ καὶ φῶς. τοῦτο δὲ Ἀπολλόδωρος τῆς Μηδείας φησίν, ἀπὸ δὲ τοῦ ἰαχὰν τοῦ χοροῦ, ἵν' ἔχῃ λόγον τὸ κἀπιβοᾶται Θέμιν εὐκταίαν Ζῆνά τε (v. 171), τοὺς δ' ὑποκριτὰς συγχέειν.

(8) Iterum v. 171 p. 350. 351, postquam interpres Apollodori Tarsensis sententiam exposuit, Didymeam ζητήματος λύσιν adicit ὁ δὲ Δίδυμός φησιν, ὅτι διὰ τοῦ λέγειν διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη ἐπικαλεῖται τὸν Δία. τίς γὰρ εἶχεν αὐτῇ ἐπιπέμψαι τὸν κεραυνόν, εἰ μὴ ὁ Ζεύς; εἰ καὶ ἡ πρεσβῦτις μὴ πάντων, ὧν ἡ Μήδεια ἐπεκαλέσατο, ἐμνήσθη, οὐ παράδοξον. ἠρκέσθη γὰρ τοῖς σεμνοτάτοις.

(9) Quibuscum cohaerent v. 212 τὰν Ζηνὸς ὁρκίαν Θέμιν· ταῦτα τοῖς ἀξιοῦσιν ὑπὸ τῆς Μηδείας διὰ τῆς Θέμιδος προσειλῆφθαι τὸν Δία συμπράττει. οἱ γοῦν προυπομνηματισάμενοι γράφουσιν οὕτως· δύναται τὸ λέγειν Ζηνὸς ὁρκίαν Θέμιν βοηθῆσαι τοῖς προκειμένοις, ὅτι διὰ τῆς Θέμιδος τὸν Δία ἐπεκαλεῖτο διὰ τὸ εἶναι Διὸς τὴν Θέμιν. Adde schol. ad v. 215 ὥστε — ἐπικαλεῖσθαι.

(10) Med. 276 p. 357 Παρμενίσκος γράφει κατὰ λέξιν οὕτως· ταῖς δὲ — ὀργήν. Δίδυμος δὲ ἐναντιοῦται τούτῳ (sic Flor. 15 τούτων Flor. 6) καὶ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως· τὴν γὰρ Μήδειαν λέγει διατρίβουσαν ἐν Κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως ἀποκτεῖναι φαρμάκοις, δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱούς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, καθίσαι (sic Matth., καθιεῖν codd.) ἐπὶ τὸν βωμὸν τῆς Ἀκραίας Ἥρας, νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγους, ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε. γεγονέναι δὲ παραπλήσιον μυθεύεται καὶ περὶ τὸν Ἄδωνιν.

(11) 360 p. 362 οὐ γάρ τι δράσεις· Δίδυμος μετὰ τοῦτο φέρει τὸ σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος. καὶ μέμφεται τοῖς ὑποκριταῖς, ὡς ἀκαίρως αὐτὸν τάσσουσιν. 'Hoc scholium dubitat P. Elmsl. (v.

Mus. crit. Cantab.) an ad v. 285 pertineat. *μέμφεται*, ut em. Valck. ad Phoen. 1286 p. 432 sq. et citat Elmsl., habent Flor. 6. 15, iidem antea *μετὰ τοῦτο* pro *μετὰ τοῦτον*.' Matth.

(12) 383. *ἢ θηκτόν· ὧδε καλῶς κεῖται. Δίδυμος σημειοῦται, ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν ἐπὶ τῶν δυοῖν τὸ σιγῇ δόμους εἰσβᾶσα, καύσω ἢ σφάξω αὐτούς.* Hic locus fugit Ritterum Didym. opusc. p. 39.

(13) 732. *Δίδυμος δέ φησι ἐλλείπειν τὴν διά, ἵν' ᾖ διὰ τὰ ἐπικηρυκεύματα.*

(14) Phoen. 748 V p. 165 M. *γελοίως τοῦτό φησιν, ὡς μὴ ὢν νῦν ἐν τῇ πόλει. πεφύλακται δὲ τὰς ὀνομασίας αὐτῶν εἰπεῖν, ὥς φησι Δίδυμος διὰ τὸ ὑπὸ Αἰσχύλου εἰρῆσθαι ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις [αὐτοῦ]. Αὐτοῦ* om. Gu., ubi, ut in Barocc. 74, hoc schol. rectius ad v. 751 refertur, omisso *δέ*. — Haec documento sunt scripsisse Didymum etiam schol. Soph. El. 62.

(15) 1748 V p. 334 M. *πρὸς ἥλικας· Δίδυμός φησι συμβουλεύειν αὐτῇ τοῦτο ποιῆσαι, ἵνα ἐρανίσωσιν αὐτήν. οὐδὲν γὰρ λαμβάνειν ἐξιόντας ἐφόδιον. ἢ ἵνα συντάξηται αὐταῖς.*

(16) Or. 1369 IV p. 503 M. *ἁρμάτειον μέλος· τὸ ἁρμάτειον μέλος ὁ Δίδυμός φησιν ὠνομάσθαι, ὅτι αἱ ἀρχαῖαι παρθένοι εἰς τοὺς θαλάμους διὰ τῶν ἁρμάτων ἤγοντο. ὅθεν ἔτι καὶ νῦν πάροχοι λέγονται ἀπὸ τοῦ τοῖς ὄχεσι παρεδεῖσθαι* (Heath. *παροχεῖσθαι*), *ὡς ἐπιθαλάμιον ἐν τοῖς θαλάμοις. — ἔνιοι δὲ ἁρμάτειον τὸν θρῆνόν φασι τὸν ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον. Ἀπολλόδωρος δὲ ὁ Κυρηναῖος ἐπιγράφει, λέγων εἶναι ἁρμόδιον ὦ Ἴλιον. εἰ δὲ ἦν παρεπιγραφή, ἅπαξ ἂν ἐπεγράφετο τὸ 'Ἴλιον ἀπώλεσεν.' ἔνιοι δὲ τὸν Φρύγα τὸν ἐκπεπηδηκότα εὐνοῦχον φασί. τοὺς δὲ εὐνούχους ἐπιεικῶς ὀξυφώνους ὑπάρχειν. τὸ οὖν ὀξύτονον ἁρμάτειον αὐτὸν φάναι διὰ τὸ τὸν ὑπαξόνιον τῶν ἁρμάτων ἦχον ἀνατεταμένον τε καὶ ὀξὺν εἶναι. ὅτι δὲ εὐνοῦχος ἦν, φησίν·* (1521) *οὔτε γὰρ γυνὴ πέφυκας οὔτ' ἐν ἀνδράσι σύγ' εἶ. καὶ πάλιν·* (1523) *ὀξὺ γὰρ βοῆς ὑπακοῦσαν Ἄργος ἐξεγείρεται. εἰσὶ δὲ καὶ ἄλλαι αἰτίαι, ἃς ἐκτίθεται ὁ ὑπομνηματιστής.*

Hypomnematistam hunc a Didymo probe distinguendum esse docet et. m. p. 145, 42, qui in fine addit *οὕτω Δίδυμος καὶ Ἀλέξανδρος*, idem tamen scholia Euripidea ipsa non adiit, sed hausit e Methodio (quo de v. comm. III p. 11 n.) ab auctore etiam synagoges Bachmanni I p. 144, 27 citato, qui compilavit Palamedis Eleatici *λέξιν κωμικήν*.

Hecub. 719—721 IV p. 168 M. *τὸ δὲ δύστηνε ὁ Δίδυμός φησι πρὸς τὸν Πολύδωρον λέγειν τὴν Ἑκάβην, ὦ δύστηνε Πολύδωρε· ἐμαυτὴν γὰρ λέγω, δύστηνον ἀποκαλοῦσά σε.*

(17) 830 codd. Ven. Flor. 21 (p. 8 Witzsch., IV p. 192 Matth.) *τὰς ἀνάγκας οἱ νόμοι διώρισαν· — ὁ δὲ Δίδυμος οὕτως* (cod. *οὐ*)*· μᾶλλον ὤφειλεν εἰπεῖν, ὅτι τοὺς νόμους αἱ ἀνάγκαι διορίζουσιν. αἱ γὰρ ἀνάγκαι καὶ τῶν νόμων εἰσὶν ἐπικρατέστεραι, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. καὶ νῦν οὖν τοὐναντίον εἶπεν.*

(18) 870 IV p. 204 M. *καὶ Λῆμνον ἄρδην. — ὁ δὲ Δίδυμος οὕτω· Πελασγοὶ ἐπιθέμενοί ποτε ταῖς Ἀθήναις πολλοὺς τῶν ἐξ Ἀθηνῶν ἁρπάσαντες ἤγαγον εἰς Λῆμνον, ἐν οἷς καὶ γυναῖκας Ἀττικάς, αἷς παλλακίσι χρησάμενοι ἔσχον παῖδας. οὓς αἱ μητέρες τῶν τε πατέρων τὴν γλῶτταν καὶ τὰ ἤθη ἐδίδαξαν· οἱ δὲ συνήρχοντο τότε ἀλλήλοις, καὶ εἴ τις τύπτοι ἀπ' αὐτῶν τινα ἐβοήθουν ἅπαντες. καὶ μετὰ ταῦτα αἱ Λήμνιαι γυναῖκες τοὺς σὺν Θόαντι πάντας ἀπέκτειναν. δι' ἀμφότερα οὖν ταῦτα ἡ παροιμία ἐδόθη, τὰ Λήμνια κακά.*

(19) 1005. *τὸ γὰρ ὑπέγγυον. Δίδυμος οὕτως, τὸ ἀληθές, φησίν, οὔτε παρὰ τῇ δίκῃ, οὔτε παρὰ τοῖς θεοῖς ἐμπεσὸν ἀφανίζεται. τοῦτο δὲ διὰ τὸν Πολυμήστορα, ὅτι μέλλει τιμωρηθῆναι, πρῶτος ἀρξάμενος τῶν ἀτόπων.* (Hic locus fugit Ritterum Didym. opusc. p. 39.)

14.

Ὑπομνήματα Ἀριστοφάνους.

1.

De schol. ad Plut. 550 *καὶ ἐν τῇ Ἰλιάδι σαφέστερον οἶδεν ἢ κατὰ Δίδυμον* infra explanatius dicam.

2.

Plut. 720 Athen. II p. 67 D. Ἀριστοφάνης δὲ ἐν Πλούτῳ φησὶ 'ὄξει διέμενος Σφηττίῳ' Δίδυμος δ' ἐξηγούμενος τὸ ἰαμβεῖόν φησι 'ἴσως διότι οἱ Σφήττιοι ὀξεῖς.' Respicit append. proverb. Cent. IV 29 vol. I p. 440 ed. L et S. Hes. Phot. 560, 18.

3.

Plut. 1012 νιτάριον ἂν καὶ βάτιον· Σύμμαχός φησι· Νίταρος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος ἐν τοῖς ἑξῆς δράμασι καὶ Βάτος. καὶ τὰς μικρὰς δὲ θηλείας Βατύλους ἔλεγον. καὶ Θεοπόμπου δρᾶμά ἐστι Βατύλη. τινὲς δὲ νιτάριον καὶ βάτιον εἴδη φυτῶν. θέλει οὖν εἰπεῖν, ὅτι ὡς ἄνθη με εἶχε. Δίδυμος δέ φησιν, ὅτι ὑποκορίσματα πρὸς γυναῖκας. νιτάριον δὲ νεόττιον, οἱονεὶ κοράσιον. (om. V.), cf. Suid., in quo Didymi explicatio praecedit. Inveteratum scripturae vitium correxisse sibi visi sunt Faber Bentleius Dindorfius scribendo νηττάριον καὶ φάττιον. Cf. interea Hes. βάττικες· γυναῖκες, Βοιωτοί. Copiosissimum de h. l. excursum edidit C. Th. Antonius in comparationis librorum sacrorum V. F. et scriptorum profanorum graecorum parte VI, Gorl. 1829 4° p. 2—9.

4.

Plut. 1130 ἀσκωλίαζ' ἐνταῦθα· ἑορτὴν οἱ Ἀθηναῖοι ἦγον τὰ ἀσκώλια, ἐν ᾗ ἐνήλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ τὸ ζῷον. ἀμέλει οὖν καὶ ἐπίγραμμα φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα οὕτως ἔχον·

κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ' ἔτι καρποφορήσω
ὅσσον ἐπιλεῖψαί σοι, τράγε, θυομένῳ. (Eueni sunt.)

ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἅλλου. § Κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθανον καθάπερ Εὔβουλος ἐν Δαμαλείᾳ φησὶν οὕτως·

— καὶ πρός γε τούτοις ἀσκὸν ἐς μέσον
καταθέντες εἰσάλλεσθαι καὶ καγχάζετε

ἐπὶ τοῖς καταῤῥέουσιν ἀπὸ κελεύσματος. οὕτω καὶ Δίδυμος. Eadem habet Harpocratio K (Marcian. 444 interpolatus) p. 37, 20 Bekk. Cf. Tim. p. 142 Fisch. Poll. 2, 194 9, 121 ed. Bekk. Bekk. anecdd. 327, 5 Hes. ἀσκωλιάζεις. ἀγκωλιάζων. De vv. οὕτω καὶ Δίδυμος infra disseram.

(5.)

Schol. Nubb. 133 Marcum Musurum sensit interpolatorem. Cf. Zenob. Prov. III 87.

5.

Rann. 13 Φρύνιχος· Δίδυμός φησιν, ὅτι νῦν Φρυνίχου τοῦ κωμικοῦ μέμνηται, ὡς παρ' ἕκαστα ἐν ταῖς κωμῳδίαις φορτικευομένου. ἔστι δὲ πατρὸς Εὐνομίδου, κωμῳδεῖται δὲ ὡς ξένος καὶ ἐπὶ φαυλότητι ποιημάτων καὶ ὡς ἀλλότρια λέγων καὶ κακόμετρα. εἰσὶ δὲ καὶ ἄλλοι τρεῖς Φρύνιχοι. Reliqua scholii pars interpretis est Didymum impugnantis.

6.

41. μὴ μαίνοιό γε· Δίδυμος ἀντὶ τοῦ μὴ μανείης. πιθανώτερον δὲ κτέ.

7.

55. μικρὸς ἡλίκος Μόλων· παίζει. ἔστι γὰρ μεγαλόσωμος ὁ Μόλων. Δίδυμος δέ φησιν, ὅτι δύο Μόλωνές εἰσιν, ὁ ὑποκριτὴς καὶ ὁ λωποδύτης· καὶ μᾶλλον λωποδύτην λέγει, ὃς ἦν σμικρὸς τὸ σῶμα. Τιμαχίδας δὲ τὸν ὑποκριτὴν λέγεσθαι Μόλωνα. Histrionem Molonem commemorat Demosth. π. παραπρ. 418, 6 R.

8.

104. κόβαλλα· κακοῦργα καὶ ἀνελεύθερα. Δίδυμος κατεστωμυλμένα ἀπατητικά, καὶ κακοβούλους κοβάλλους. Cf. Hes. schol. Eur. Hec. 129 Cobet. De Coballis habemus egregiam disputationem Lobeckii in miscc. critt. Seebod. II 3 p. 568—570.

9.

186. τὸ δὲ λήθης πεδίον, Δίδυμός φησι, χωρίον ἐν

ᾅδου τετύπωκεν, ὡς καὶ τὸν Αὐαίνου λίθον ἔπλασεν ἀπὸ τοῦ αὐαίνεσθαι τοὺς νεκροὺς καὶ ἀλίβαντας εἶναι. κτλ.

10.

223. *ὄῤῥον· — — Καλλίστρατος τὴν ὀσφῦν καὶ τὸ ἱερὸν ὀστοῦν. Δίδυμος τὴν τραμὴν (τράμιν), οὐχ ὥς τινες τὸ ἰσχύον. ἔνθεν καὶ τὸ ὀῤῥωδεῖν τὸν ὄῤῥον ἱδροῦν. Ὅμηρος· ἴδιον ὡς ἐνόησα. τοῦτο γὰρ πάσχουσιν οἱ φοβούμενοι.* Homeri locus est Odyss. *υ* 204, ad quem cf. schol. Herodiani B p. 525 Buttm. Ceterum vid. *λέξιν κωμικήν* p. 77.

11.

232. — — *Δίδυμος δέ φησιν· ἢ ὅτι κέρατα ἔχει, ἢ κεροβάτης, οἷον τὴν βάσιν ἔχων κερατίνην. εἴπερ ἱστορεῖται τὰ κάτω τράγου ἔχειν, ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης.* Vid. lex. com. p. 77.

12.

716. *κυμάτων ἐν ἀγκάλαις· Δίδυμός φησι παρὰ τὸ Αἰσχύλου* (Archilochi?) ·

ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.

θέλει δὲ εἰπεῖν καὶ ταῦτα ὄντες ἐν πολλοῖς κινδύνοις. ἐνεστήκει γὰρ ὁ Διονυσιακὸς πόλεμος.

13.

788. *λυγισμῶν· καμπῶν. γράφεται δὲ λογισμῶν — — Δίδυμος δὲ λυγισμῶν ἀπὸ τῶν συνδέσεων τοῦ λόγου.*

14.

992. *Φορμίσιος· Δίδυμός φησιν, ὅτι Φορμίσιος δραστικὸς ἦν καὶ τὴν κόμην τρέφων καὶ φοβερὸς δοκῶν εἶναι, διὸ καὶ Αἰσχύλου μαθητήν φησιν αὐτὸν εἶναι. βαθὺς δὲ ἦν καὶ καθίει τὸν πώγωνα. κωμῳδεῖται δὲ εἰς δωροδοκίαν.* Cf. lex. com. p. 78.

15.

997 (1001). *οὐ Χῖος ἀλλὰ Κῖος· ὅτι δοκεῖ προσγεγράφθαι τῇ πολιτείᾳ, Ἄγνωνος αὐτὸν ποιησαμένου, ὡς Εὔπολις Πόλεσιν. Ἀρίσταρχος δὲ ὡς γεγραμμένου Κῷος ἐξηγεῖται, ὅτι πρὸς τὸ Κῷος εἰσήγαγε τὸ Χῖος. τὸν γὰρ*

ἀντίστροφον τῷ Χίῳ λέγεσθαι. τοῦτο οὖν φησιν, ὅτι οὐδέποτε κακοβουλεῖ ὁ Θηραμένης ὡς ἐν ἀστραγάλοις, ἀλλ' ἐπιτυγχάνει. ἐπιπλήττει δὲ αὐτῷ ὁ Δημήτριος ὡς τελέως ἀγνοοῦντι, ὅτι Κῖος ἦν. παραλείπει δὲ ὅμως καὶ αὐτός, ὅτι οὐδὲν ἧττον παρὰ τὴν ὑπόνοιαν εἴρηται ἀντὶ τοῦ Κῷος Κῖος. Δίδυμος δέ φησιν, ὅτι δύναται καὶ τῆς παροιμίας μεμνῆσθαι, οὐ Χῖος ἀλλὰ Κῖος, παρόσον ποικίλος τις ὢν καὶ ἀγχίστροφος καθωμίλει τοὺς καιροὺς πρὸς τὸ κρεῖττον μέρος ἀεὶ διδοὺς ἑαυτόν. Cf. Gerhard. de Aristarcho Aristophanis interpr. p. 30. 31, Bonn. 1850. 8.

16.

1017 (1021). — — *Δίδυμος, ὅτι Μαμμάκουθος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβάλλοντο. καθάπερ καὶ ὁ Βουταλίων καὶ ὁ Κόροιβος. μήποτε δὲ γραπτέον εἴη Μαμμάκυθοι διὰ τὸν στίχον.* Videsis me in annal. Marburg. 1853 fasc. 6 p. 517.

17.

1055 (1060). — — — *ἄλλως. Δίδυμος, ὅτι οὐ περιέχουσι θάνατον Δαρείου οἱ Πέρσαι τὸ δρᾶμα. διό τινες* (Herodicus puta et Eratosthenes) *διττὰς καθέσεις [τουτέστι διδασκαλίας] τῶν Περσῶν φασί. καὶ τὴν μίαν* (sc. *κάθεσιν*) *μὴ φέρεσθαι. τινὲς δὲ* (h. e. Chaeris) *γράφουσι Δαρείου τοῦ Ξέρξου. οἱ δέ, ὅτι τοῖς κυρίοις ἀντὶ πατρωνυμικῶν κέχρηνται. καὶ ὅτι ὁ Ξέρξης, οἱ δὲ ὅτι εἴδωλον Δαρείου φθέγγεται ἐκεῖ τεθνηκότος δηλονότι.* In his *καθέσεις* pro *θέσεις* debetur Kustero. *θέσεις* defendit Dindorf. p. 406 Invern. coll. schol. Plat. p. 330 Bekk. — Cf. Blomfield. praef. ad Pers. p. XXV Bernh. Eratosth. p. 224 Haupt. excurs. ad Aeschyli Pers. p. 287 Bernhardyi lit. Gr. h. II p. 770.

18.

1332 (1340). — — *Δίδυμος δὲ προστίθησιν, ὅτι εἰώθασιν ἀντὶ λύρας κογχύλια καὶ ὀστράκια κρούοντες, εὔρυθμόν τινα ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις.* Athen. XIV p. 636 DE. *Δίδυμος δέ φησιν εἰωθέναι τινὰς ἀντὶ τῆς λύρας κογχύλια καὶ ὄστρακα συγκρούοντας ἔρρυθμον* (*ἐνρ.* AP. *εὖρ.* C. Bas. L.) *ἦχόν τινα ἀποτελεῖν τοῖς ὀρχουμένοις,*

καθάπερ καὶ Ἀριστοφάνη ἐν Βατράχοις φάναι. Athenaeus fortasse libros Didymi convivales compilavit, vel *σύμμικτα*, quo refero etiam *ἐξῆκται ἐν ταῖς ἐκλογαῖς* in schol. Pac. 1241.

19.

Schol. Avv. 13 *οὐκ τῶν ὀρνέων· ἀντὶ τοῦ ὀρνεοπώλων. Δίδυμος δὲ δεινὰ φάσκειν αὐτοὺς ἐκ τῶν ὀρνέων πεπονθέναι. ἐπεὶ Ὀρνέαι τῆς Λακωνικῆς εἰσι. πρὸ δὲ ἐτῶν δύο κακῶς περὶ Μαντίνειαν ἀπήλλαξαν, ὡς καὶ τοὺς στρατηγοὺς ἀποβαλεῖν, Λάχητα καὶ Νικόστρατον, καθὰ καὶ Ἀνδροτίων φησίν.* Pertractavit haec God. Hermannus in Philologo. De Orneis disputat E. Curtius Peloponn. II p. 478 sqq. et p. 582 n. 55.

20.

43. *κανοῦν δ' ἔχοντε· — Δίδυμος δέ φησιν ἀμυντήρια τῶν ὀρνέων αὐτὰ βαστάζειν, ἀντὶ ὅπλου μὲν τὸ κανοῦν, περικεφαλαίας δὲ τὴν χύτραν, ἵνα μὴ ἀφιπτάμενα τὰ ὄρνεα τύπτῃ αὐτούς. τὰς δὲ μυῤῥίνας πρὸς τὸ ἀποσοβεῖν.* Cf. Suid. s. v. *κανοῦν*. Leutsch. in Philol. vol. II p. 17 sqq.

21.

58. *ἐποποῖ· Σύμμαχος καὶ Δίδυμος προπαροξύνουσιν· οἱ δὲ περισπῶσιν, ἵν' ᾖ ἐπίῤῥημα, ἀντὶ τοῦ ἐποπιστί. εἰ δὲ προπαροξύνοιτο, δῆλον ὅτι ἐσχημάτισται ἀπὸ εὐθείας τῆς ἔποπος.*

22.

149. — — *Δίδυμος δέ φησι Λέπρεον ὠνομάσθαι ἢ διὰ τὸ τὴν χώραν αὐτὸ λέπειν· διαφαίνονται γὰρ ἐκ τῆς ὀρεινῆς· πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπριῶσι, καὶ διὰ τοῦτο οὕτως ὠνομάσθαι ἐκ τοῦ πάθους· ἢ διὰ τὸ τοὺς πρώτους οἰκήσαντας τὴν πόλιν ταύτῃ τῇ νόσῳ κατεσχῆσθαι. τοὺς οὖν πλησιοχώρους Λεπρεώτας* (Hes. *Λεπρεάται*) *αὐτοὺς καλεῖν· τοὺς δὲ μὴ βουλομένους δοκεῖν ἄχθεσθαι τῷ ὀνόματι, Λέπρεον τὴν πόλιν καλέσαι· οὐδετέρως γὰρ λέγεται*

ἡ πόλις τὸ Λέπρεον, ὁ δὲ ἀρσενικῶς εἶπεν. Cf. E. Curtius Peloponn. II p. 83 sq. p. 117 n. 85.

23.

217. *τοῖς σοῖς ἐλέγοις· — Δίδυμος δέ φησιν, ὅτι οἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι. τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι.* Cf. huius operis lib. IV cap. 9 fr. 1.

24.

302 (303). *ὅστις ἐστὶ κηρύλος· Εὐφρόνιός φησι τοὺς Δωριεῖς λέγειν· βάλε δὴ βάλε κηρύλος εἴην. τοὺς δὲ Ἀττικοὺς κείρυλον. φησὶ δὲ Δίδυμος τὸ κατὰ φύσιν ὄνομα κείρυλος λέγεσθαι. Ἀντίγονος δέ φησι τοὺς ἄρσενας τῶν ἀλκυόνων κηρύλους λέγεσθαι, οὓς γηράσκοντας αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς. μήποτε παρὰ τὸ κείρειν ἐσχημάτικεν. ὁ δὲ Σπογγίλος ἦν κουρεύς. μνημονεύει αὐτοῦ Πλάτων ἐν Σοφισταῖς·*

τὸ Σπογγίλου κουρεῖον ἔχθιστον τέγος.

τοῦτο οὖν ἔστω σημεῖον τοῦ καὶ τὸν κηρύλον ἴσως παρὰ τὸ κείρειν ἠτυμολογηκέναι τὸν Ἀριστοφάνη. Egregie de h. l. disputat E. de Leutsch. in Philol. II p. 19—33 sect. V. Ceterum in scholio nonnulla turbata sunt. Alcmanis fragmentum enim apud Antigonum Carystium exstabat, non apud Euphronium, quod cum ex Tzetze ad Lyc. 387 tum ex ipso Antigono patescit. Rescribo igitur *Εὐφρόνιός φησι τοὺς Δωριεῖς λέγειν κηρύλον, τοὺς δὲ Ἀττικοὺς κείρυλον. Ἀντίγονος δέ φησι τοὺς ἄρσενας — τοῖς πτεροῖς......* (lacuna) *βάλε δὴ βάλε κηρύλος εἴην. φησὶ δὲ Δίδυμος τὸ κατὰ φύσιν ὄνομα κείρυλος λέγεσθαι. μήποτε κτἑ.* De Didymi scriptura *κείρυλος* vid. Lehrs. Arist. p. 341.

25.

307 (305). *πορφυρίς· ἡ πορφυρὶς ἀναγέγραπται, κερχνὶς δὲ οὔ, ἀλλὰ κέρχνη. καὶ ἡ κολυμβὶς δὲ φαίνεται καὶ ἡ ἀμπελίς. Δίδυμος δὲ μικρὸν ἱέρακά φησιν.*

26.

439. *ἥνπερ ὁ πίθηκος τῷ γυναικὶ διέθετο· Σύμμαχος· Αἰσωπείου λόγου ἢ τοιούτου τινὸς ἔοικε με-*

μνῆσθαι. Καλλίστρατος δὲ τοσοῦτόν φησιν ἐκ διηγηματίου τινὸς εἱλκύσθαι. καὶ Δίδυμος, ὅτι αἰσχρός τις τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ πλησιαζόμενος (O. Schneider. p. 59 *πληκτιζόμενος*) *συνέθετο ἐπὶ φίλων μήτε τύπτειν μήτε τύπτεσθαι, μήτε δάκνειν φιλοῦντα μήτε δάκνεσθαι. οἷον· σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν Νήσοις· καταλιπὼν Παναίτιον πίθηκον, ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον.*

27.

530. *βλιμάζοντες·* — Callistratus — *Δίδυμος δὲ βλιμάζοντες ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ κατεσθίουσιν.* Cf. et. m. p. 200, 38 Gud. 110, 19 Schneider. de schol. Aristoph. p. 82. 83.

28.

704. *Σύμμαχος* — *ἐρωμένοις. Δίδυμος δέ, ἐπεὶ ἡ σίττη καὶ εἴ τι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς ἔρωτας φαίνεται. ἐγὼ μὲν ὦ Λευκίππη δεξιῇ.* Fragmentum choliambicum tractat Meinek. Chol. LXII p. 122. 3.

29.

737. *Μοῦσαν λοχμαίαν·* — *Δίδυμος, ὅτι ἐγκεκρυμμένοι ἐν ταῖς λόχμαις φωνεῖν εἰώθασιν.*

30.

768. Locus e libro Didymi *περὶ διεφθορυίας λέξεως* apponitur, quem tractavi in libr. I cap. 1 p. 19.

30ª.

816. *οὐδ' ἂν χαμεύνην· Δίδυμός φησιν· οὐδ' ἄσπαρτον, ᾧ χρησαίμην. οὕτω μισῶ τὴν Σπάρτην. χαμεύνη δὲ ταπεινὴ κλίνη.*

31.

824. — *Δίδυμος δέ φησιν διὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων τῆς Φλέγρας καὶ τῆς Νεφελοκοκκυγίας.*

32.

835. *Ἄρεως νεοττός· νεοττοί τινες ἀλεκτρυόνες λέ-*

γονται, ὡς καὶ Μηδικοί. ἴσως δέ τισι (?τις ἦν) καλὸς παῖς Νεοττὸς τοὔνομα, πρὸς ὃν παίζει· ὦ Νεοττὲ δέσποτα. οὕτω Δίδυμος.

33.

836. *Δίδυμός φησι τὸ Πελαργικὸν τεῖχος ἐπὶ πετρῶν κεῖσθαι.* Cf. Goettling. in Mus. Rhen. N. F. IV p. 321—45 p. 324.

34.

876. — — *ὁ δὲ Δίδυμος μητέρα Κλεοκρίτου, ὅτι ὡς γυναικίας καὶ κίναιδος κωμῳδεῖται. ἐν δὲ τοῖς μυστηρίοις τῆς Ῥέας μαλακοὶ πάρεισι. καὶ ἴσως ἕτερος ἂν εἴη τοῦ παρ' Εὐπόλιδος ἐν Δήμοις καὶ Κόλαξι.*

35.

995. *τίς ὁ κόθορνος· οἷον, τί ὑποδησάμενος πάρει; οὕτω Σύμμαχος † πρὸς [τὸ] τί ὑποδέδεται τῷ δεξιῷ [Δίδυμος οὕτω· πρὸς τί ὑποδέδεται τὸ δεξιόν; τίς ἐστὶν ἡ ἐπίνοια τῆς ὁδοῦ;* RV.] Possis etiam *οὕτω Σύμμαχος πρὸς τό· πρὸς τί κτλ.*, ut Symmachus impetum in Didymi explicationis conamen fecisse dicatur. Certe haec vocabuli *πρός* significatio solemnis in his scholiis.

36.

1001 (1002). *προτιθεὶς οὖν· Δίδυμος, τοιοῦτος ἀήρ ἐστι τῇ γῇ περικείμενος, ὅμοιος πνιγεῖ, καθαπερεὶ πῶμά τι περικείμενος. τὰ δὲ ἑξῆς φησι Σύμμαχος ἐπίτηδες ἀδιανόητα.*

37.

1112. *ὀξὺν ἱερακίσκον· — Δίδυμος, τάχος ὡς ἱέρακος, ἵνα ταχέως φύγῃ.*

38.

1113. *πρηγορεῶνας· κυρίως τῶν ὀρνίθων ὁ λεγόμενος πρόλοβος — τροφήν. Δίδυμος δέ, τοὺς βρόγχους τῶν ὀρνέων, τοὺς λεγομένους προλόβους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ καὶ ἐπὶ ἀνθρώπων πρηγορεὼν πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν.* Vid. lex. com. p. 79.

39.

1121. *ἀλλ' οὑτοσὶ τρέχει· Σύμμαχος* —. ὁ δὲ *Δίδυμος* παρὰ τὸ Πινδάρου· ἄμπνευμα σεμνὸν Ἀλφειοῦ. διχῶς δέ τινες· ἄλφειον πνέων. Nem. I 1.

40.

1274. *ὦ κατακέλευσον·* οἱονεί, σιωπὴν κήρυξον. οἱ γὰρ κελευσταὶ πολλάκις σιωπὴν καταγγέλλειν εἰώθασιν, σιώπα λέγοντες καὶ ἄκουε καὶ τὰ ὅμοια.

41.

1284. *σκυτάλι' ἐφόρουν·* — οὕτω Σύμμαχος. ὁ δὲ *Δίδυμος* σκυτάλια τὰς βακτηρίας, αἷς τὰ σκύταλα τύπτουσιν, ὅ ἐστι τοὺς τραχήλους. ἢ παίσει (legebatur παύσει) βάκτρῳ καλίνῳ σκύταλα Φρὺξ ἀνήρ.

42.

1295. *Ὀπουντίῳ δ' ὀφθαλμόν· Δίδυμος*, ὡς τοιούτου τὴν ὄψιν ὄντος μνημονεύει αὐτοῦ καὶ μέγα ῥύγχος ἔχοντος, καὶ ὁ τὰς Ἀταλάντας γράψας καὶ Εὔπολις ἐν Ταξιάρχαις. *Σύμμαχος·* κτέ.

43.

1296. *χηναλώπηξ·* — ὁ δὲ *Δίδυμος* Θεαγένη καὶ Φιλοκλέα φησὶν ὀρνιθώδεις εἶναι.

44.

1298. *Μειδίας δ' ἐκεῖ Ὄρτυξ·* ὁ μὲν *Δίδυμος* οὕτως ... ὁ δὲ Ἀμμώνιος ᾠήθη ἐξ ἐπιθέτου Μειδίαν ὄρτυγα καλεῖσθαι. γελοίως. διὰ τὸ κυβευτὴν εἶναι καὶ ἐν πυρῷ τοὺς ὄρτυγας κόπτειν οὕτως αὐτὸν νῦν Ἀριστοφάνης προσεῖπε. δηλοῖ δὲ τοῦτο Ἀριστοφάνης † καὶ Πλάτων ἐν Περιαλγεῖ· 'χρηστόν γε μὴ κατὰ Μειδίαν ὀρτυγοκόπον'. διαβάλλεται δὲ εἴς τε πονηρίαν, ὡς Μεταγένης ἐν Ὁμήρῳ, καὶ συκοφαντίᾳ· κόβαλός τε εἶναι ἐλέγετο καὶ πτωχαλαζών, ὡς Φρύνιχος ἐν Ἐπιάλτῃ. λέγει δὲ ἐν Ποαστρίαις ὁ αὐτός, ὡς καὶ περὶ ἀλέκτορας αὐτοῦ ἐσπουδακότος· — ὁ δὲ *Σύμμαχος* κτέ. Correctiones admisi certissimas O. Schneideri p. 76. 77. Didymi verba nonnulla exciderunt.

45.

1369 (1363). *Σύμμαχος* — *Δίδυμος δέ· ἀντὶ τῆς πτέρυγος ἀσπίδα δίδωσιν αὐτῷ, ἀντὶ δὲ τοῦ πλήκτρου ξίφος. ἦλθε γὰρ ὡς ἀλεκτρυὼν πτερωθῆναι, ἐπεὶ ἐκεῖνοι τοὺς πατέρας τύπτουσιν.*

46.

1379. *τί δεῦρο πόδα σὺ κυλλόν· ἄλλως· Δίδυμος μὲν κύκλον, ἐπεὶ κυκλίων ᾀσμάτων ποιητής ἐστι. κυλλὸν δέ, ἐπεὶ χωλός ἐστιν. εἴρηται δὲ περὶ αὐτοῦ ἐν Βατράχοις. ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις δύο φησὶ γεγονέναι· — Σύμμαχος οὕτως· Εὐφρόνιος καὶ κτέ.* De hoc loco quid statuam dicam infra.

47.

1528 (1520). *Ἰλλυριοί· Δίδυμος, ὥσπερ βάρβαροι. ἀνέπλασε δέ τι γένος θεῶν βαρβάρων Τριβαλλῶν ἀνώτατον* (*ἀνώτερον* MS. Bentl.), *οἷον ὥσπερ ἐπὶ τῶν ἀνθρώπων βάρβαρα ἔθνη ποῤῥωτάτω καθεστήκασι. περὶ δὲ Θρᾴκην εἰσὶν οἱ Ἰλλυριοί.*

48.

1684 (1677). *καὶ μεγάλα· τὴν καλὴν καὶ μεγάλην Βασιλείαν γαμεῖν. οὕτω Δίδυμος.*

49.

1687 (1680). *ὥσπερ αἱ χελιδόνες· Σύμμαχος — ὁ δὲ Δίδυμος οὕτω· καταλλήλως εἶχεν, εἰ ἔλεγεν, ὡς τὰς χελιδόνας. θέλει δὲ λέγειν, εἰ μὴ βαδίζει πρὸς τὰς χελιδόνας. διὸ καὶ ἐποίσει· οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει. ἐπειδὴ καὶ αὐτὸς πρὸς αὐτὰς βαδίζει εἰς Νεφελοκοκκυγίαν.*

50.

1711. *ἡ γλῶσσα χωρίς· Σύμμαχος. — Δίδυμος δέ· ἐν ταῖς θυσίαις χωρὶς ἡ γλῶσσα ἐτέμνετο, οὐ μετὰ τῶν ἄλλων σπλάγχνων. καὶ Ὅμηρος· 'ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας.' ἐγένετο δὲ τοῦτο δι' ἄλλην αἰτίαν, οὕτως δὲ βούλεται λέγειν, ὅτι ἐξεβλήθη ἐκ τῶν σπλάγχνων διὰ τοὺς ῥήτορας ἡ γλῶσσα, ἐπεὶ ταύτῃ τοὺς ἄλλους κακοποιοῦσιν.* Homeri locus est *γ* 332. 341, cf. schol. p. 105. 6 sq. Buttm.

51.

Schol. Eqq. 963 (950). Cf. Ach. 1100.

52.

Schol. Pac. 759 (757) *Λαμίας ὄρχεις· — Δίδυμος δέ· εἰδωλοποιεῖ τινας ὄρχεις Λαμίας. θῆλυ γάρ.* Reliqua Didymus scripsisse non videtur. [De Lamiis caput integrum legitur in Wieri de praestigiis daemonum l. III (ni fallor), cf. Lobeck. technol. p. 326.] Cf. schol. Ar. Vesp. 1030. Quibus integrioribus in Aristophanem scholiis licuit uti, Suidas vol. II 1 p. 496 Bernh. Eudoc. p. 274, 5 et Phot. p. 205, 9, certiores nos faciunt scholiastam e Duridis Libycis (*ἐν δευτέρῳ Λιβυκῶν*) de Lamia fabulam delibasse. Fortasse hunc Aristophanis versum respicit et. m. 556, 55 *λαπιδόρχας, ὁ μεγάλους ὄρχεις ἔχων.* De Lamia lamiisque infantium terriculamentis multi dixerunt, Bochart. geogr. sacr. II 1 c. 33 p. 652 Natalis Com. myth. p. 753 Nic. Perotti Corn. Cop. p. 326, 57 Facell. de reb. Sicul. X dec. 12 D. Lambin. ad Horat. AP. 340 Phil. Beroald. ad Apulei. fol. 23 (Venet. 1504) Pricaeus adnot. ad Apulei. p. 273 [99] Taubmann. ad Plaut. p. 1204 *B* 2, 1406 *B* 2 Wesseling. ad Diod. Sic. XX 41 p. 778 Valck. ad Theocr. Adon. p. 347 Ukert über Daemonen u. s. w. in Abh. d. saechs. Gesellsch. d. Wiss. I p. 171. n. 196. Praeterea ex antiquis scriptoribus cf. Aristot. Eth. Nicom. *H* p. 124, 27 Bekk. Plutarch. de curios. p. 515 F Philostr. V. A. IV p. 165 Lucian. philops. c. 2 schol. Plat. Phaedr. p. 315 Bekk. schol. Apoll. Rh. IV 828 schol. Laur. ad Theocr. XV 40 p. 961 ed. Kiessl. schol. Aristid. p. 19 ed. Fromm. Arsen. p. 332 anecdd. Bachm. I p. 218, 27 287, 27 et. m. 555, 50 Hesych. *Λαμία Ἀργυῖτας Γελλώ* et *Γελώ* coll. Lobeck. Aglaoph. I p. 302 Zenob. 3, 3. — De accentu *Λάμια* unice probando cf. Spitzn. vers. heroic. p. 30 Meinek. Menandr. p. 145. Testes sunt ipsi grammatici nobilissimi ap. Cram. A. Oxx. I p. 370, 22. — Fabulas Lamiae nomine inscripserunt Euripides et Crates comicus.

53.

831. *τὰς ἐνδιαεριανεριvηχέτους·* — *Δίδυμος δὲ πεπλάνηται λέγων ἀνεριvηχέτους* (Rav. *αὐερι–*). *οὐ γὰρ λέγουσιν ἀνέρα* (id. *αὐέρα*) *οὗτοι.*

54.

929 (931). *οἷ καθήμενοι ὑπὸ τοῦ δέους·* — *τὸ γὰρ οἶ ὀδυρομένων ἐστὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων. Δίδυμος δὲ ἐν ἐκτάσει. οἱ γὰρ φοβούμενοι* (*οἶ*) *οὕτω λέγουσιν.*

55.

1253. *συρμαίαν μετρεῖν· οἱ μὲν ἀξιοῦσι χυλὸν βοτάνης εἶναι τὴν συρμαίαν, ᾗ χρῶνται Αἰγύπτιοι πρὸς διάῤῥοιαν, τινὲς δὲ τὸν λεγόμενον ζυθόν, ὡς καί φησι Δίδυμος. ἄλλως. φαίνονται τοῦ χυλοῦ τῆς συρμαίας πίνειν οἱ Αἰγύπτιοι πρὸς διάῤῥοιαν. ὡς Δίδυμος, ἁλμαία ἐκ ῥαφανίδων Αἰγυπτιακὴ πρὸς κάθαρσιν ἐπιτήδειος.*

56.

Lys. 313 *τῶν ἐν Σάμῳ στρατηγῶν· Δίδυμος καὶ Κάρτερός φασι ταῦτα αἰνίττεσθαι εἰς Φρύνιχον τὸν Στρατωνίδου. ἐκακοηθεύσατο γὰρ πρὸς τὸν δῆμον ἐν Σάμῳ στρατηγῶν, ὥστε ἐψηφίσατο κατ' αὐτοῦ ὁ δῆμος δημόσια εἶναι τὰ Φρυνίχου χρήματα καὶ τῆς θεοῦ τὸ δέκατον μέρος καὶ τὴν οἰκίαν κατεσκάφθαι αὐτοῦ, καὶ ἄλλα πολλὰ κατ' αὐτοῦ ἔγραψεν ἐν στήλῃ χαλκῇ. καὶ ἐν Βατράχοις* (689)· *κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν.*

57.

Ach. 1089 (1075) *ἐν μίᾳ ἡμέρα ἄγονται οἵ τε Χύτροι καὶ οἱ Χόες ἐν Ἀθήναις, ἐν ᾧ πᾶν σπέρμα εἰς χύτραν ἑψήσαντες θύουσι μόνῳ τῷ Διονύσῳ καὶ Ἑρμῇ. οὕτω Δίδυμος.*

58.

1100. *θρῖον ταρίχους·* — *σκεύασμα δέ τι παρὰ Ἀθηναίοις τὸ θρῖον, ὅπερ λαμβάνει ὕειον στέαρ ἢ ἐρίφειον καὶ σεμίδαλιν καὶ γάλα, καὶ τὸ λεκιθῶδες τοῦ ᾠοῦ πρὸς τὸ πήγνυσθαι. καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος.*

59.

Vesp. 804 (769) *εἵλη κατ' ὄρθρον· — γράφεται δὲ καὶ κατ' ὀρθὸν ἐν πολλοῖς. καὶ ἐξηγούμενος Καλλίστρατός φησι, κατὰ τὸ ὀρθῶς ἔχον· οὐχὶ ἐν τῷ δικαστηρίῳ τῷ δ' ἡλιάσεις* (sic). *μήποτε δὲ ψιλῶς προσενεκτέον, παρὰ τὴν Ἡλιαίαν, πρὸς ἥλιον δικάσειν. ἅμα δὲ παίζει παρὰ τὴν τοῦ ἡλίου ὀνομασίαν. ψυχρῶς δὲ πέπαιχε, φησὶν ὁ Δίδυμος, πρὸς τοὔνομα. ἐπειδὴ γὰρ εἵλη λέγεται ἡ τοῦ ἡλίου αὐγή, Ἡλιαία δὲ τὸ δικαστήριον, παίζων ἔφησε πρὸς φιλόδικον, ὅτι, ἐπειδὰν ἀνάσχῃ ὁ ἥλιος, ἡλιάζειν ἐνέσται σοι. οὕτως δὲ οἱ Ἀττικοὶ διὰ τοῦ ἱείλην λέγουσιν. οὕτω Δίδυμος.* Abhinc Symmachi verba leguntur. ?*διὰ τοῦ ει* vel *ψιλοῦντες εἵλην*?

60.

1074 (1033). *τοῖς ἠπιάλοις· — Δίδυμος δέ φησι, δαίμων, ὃν Ἠπιάλην καὶ Τίφην καὶ Εὐόπαν καλοῦσιν.* Cf. p. 51. 2 et Boeckh. expl. Pind. p. 271.

61.

1099 (1058). *πρὶν ταῦτα· τὰ πρὶν κατορθώματα ἀπώλετο. Δίδυμός φησιν, ὡς παρῴδησε ταῦτα ἐκ τῶν Τιμοκρέοντος τοῦ Ῥοδίου* (fr. 7 p. 942 Bergk. ed. 2).

62.

1217 (1173). *Καρδοπίων· καὶ τοῦτο ἀρχὴ μύθου. Δίδυμος· ὁ Καρδοπίων ζητητέος. οὐδαμοῦ κωμῳδεῖται. ἀλλ' Ἀγκυλίων, ἐπὶ τῷ τὴν μητέρα κακῶς διατιθέναι. λείπει δὲ ἔτυψεν.*

63.

1349 (1300). *ἔοικας ὦ πρεσβῦτα· Δίδυμός φησιν, ἀδιανόητα σκώπτει ἐνταῦθα. τὸ δὲ τρυγὶ ὡς πρὸς γεγηρακότα λέγει.*

64.

1428 (1379). *ἴθι μοι παράστηθ' ἀντιβολῶ· γυνή τις ὑβρισμένη ὑπὸ τοῦ γέροντος δεῖται τοῦ υἱοῦ βοηθῆσαι αὐτῇ. Δίδυμος δὲ ἀρτόπωλις λέγει.*

65.

Thesm. 31 *οἱ περὶ Ἀρίσταρχον καὶ Δίδυμόν φασι*

τοιοῦτον εἶναι τὸν Ἀγάθωνα. ἐγὼ δὲ οὐχ ἡγοῦμαι, ἀλλ' ἐπειδὴ βούλεται κωμῳδεῖν τὸν Ἀγάθωνα, ὡς μήτε καρτερὸν μήτε μέλανα, τοῦτο εἶπεν. ἢ ἄσημόν τινα.

66.

169. *ἐν ἐνίοις δὲ Ἀχαιός γέγραπται, καὶ τὰ παλαιότερα ἀντίγραφα οὕτως εἶχεν. Ἀριστοφάνης δέ ἐστιν ὁ μεταγράψας Ἀλκαῖος. περὶ γὰρ παλαιῶν ἐστιν ὁ λόγος, ὁ δὲ Ἀχαιὸς νεώτερος. τὸ δὲ λεγόμενον ὑπὸ Διδύμου πρὸς Ἀριστοφάνην, ὅτι οὐ δύναται Ἀλκαίου μνημονεύειν (οὐ γὰρ ἐπεπόλαζε, φησί, τὰ Ἀλκαίου διὰ τὴν διάλεκτον) λελήρηται ἀντικρύς. καὶ ἐν τῷ πρὸ τούτου δράματι τοῖς Ὄρνισι παρῴδηται τὸ 'ὄρνιθες τίνες οἵδ' ὠκεανῶ γᾶς ἀπὺ πεῤῥάτων' οὕτως 'ὄρνιθες τίνες οἵδ' οὐδὲν ἔχοντες' καὶ ἐν Σφηξίν· 'ὤνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος'. ἀλλαχοῦ δὲ ὁ Δίδυμός φησιν· ἡ μὲν γραφὴ δύναται μὲν εἶναι, οὐκ ἂν δὲ τούτου τοῦ μελοποιοῦ μέμνηται, πάλιν τὸ αὐτὸ λέγων, ὅτι οὐκ ἐπεπόλαζε τὰ μέλη, [ἀλλ'] Ἀλκαίου τοῦ κιθαρῳδοῦ, οὗ καὶ Εὔπολις ἐν χρυσῷ γένει μέμνηται· 'ὦ 'λκαῖε Σικελιῶτα Πελοποννήσιε.' τί δὲ ἐνταῦθα κιθαρῳδοῦ, περὶ ποιητοῦ ὄντος τοῦ λόγου;* Cf. Nauck. Ar. Byz. p. 64 n. 92. Multus de h. l. est etiam Schneiderus p. 16 sqq.

(67.)

Schol. Avv. 17 *οἱ μὲν πλείους — κωμῳδεῖσθαι. οὐκ ἔχομεν δὲ υἱὸν αὐτοῦ διὰ τῆς κωμῳδίας εἰπεῖν. μήποτε οὖν, φησί...., κατὰ περίφρασιν εἴρηκεν Θαῤῥελείδου κολοιόν, ἐν ἴσῳ τῷ Θαῤῥελείδης, ὅς ἐστι κολοιώδης.* Dubito, utrum lacuna Aristarchi an Didymi nomine supplenda sit. Cf. schol. Pind. Ol. XI 83. Schneiderus videtur Symmachi nomen subaudisse.

(68.)

Apulei. min. de orthogr. §. 12 p. 42 ed. Osann. *Linus* (? Didymus) *in Aristophanis Plutum Staphylum Bacchi dicit amicum, Grynicus Semeles avunculum.*

Cf. schol. Plut. 1022—*Στάφυλος ὁ ἐρώμενος Διονυσίου.* Possis etiam de Latino a Porphyrio ap. Euseb. PE X 3

p. 465 D laudato cogitare. Sub corrupto *Grynicus* nescio an *Phrynichus* lateat. An Phaini et Symmachi laudantur commentarii?

De Didymo

interprete scenicorum poetarum scholiorumque principali fonte.

E veteribus, qui in Sophoclem commentati sunt, grammaticis, unius etiamnunc memoriam servat schol. La., Praxiphanis[1]) ad OC. 900. Aliis enim locis omnes uno nomine commentatorum comprehenduntur, ut OC. 388. 390 (οἱ ὑπομνηματισάμενοι) 681, ubi veterum grammaticorum verba sunt quae leguntur usque ad αὐταῖς ἀνεῖτο, reliqua usque ad finem Didymi, quibuscum cohaerent adnotata ad v. 684. Cui loco simillima sunt schol. ad Pindar. Isthm. *B* inscr. et v. 19 p. 526 et ad Eur. Med. 212 coll. 171 (vol. V p. 352 M.) ταῦτα τοῖς ἀξιοῦσιν-συμπράττει. οἱ γοῦν προυπομνηματισάμενοι γράφουσιν κτέ. Moneo hoc propter Ritterum, qui Didymum intellegit, ubi οἱ ὑπομνηματισάμενοι in partes vocantur, quamquam certum est ap. Hes. etiam s. vv. ἐναροφόρος et κυνδαλοπαῖκται et schol. Pind. Ol. ς 55 Vrat. Nem. γ 1 Isthm. β inscr. a Didymo refelli ὑπομνηματιστάς. Etiam in schol. ad OC. 900. 947 οἱ ἐξηγησάμενοι laudantur. 1375 ἀπαξάπαντες οἱ πρὸ ἡμῶν (1593 ἀμάρτυρον δέ). Sed Aristophane Byzantio usi sunt scholiastae ad El. 445 (ἐμασχαλίσθη) coll. Phot. μασχαλίσματα; ad Ai. 104 coll. Oro et. m. p. 625, 24, quamquam dubitat Nauck. de Arist. Byz. p. 233, neque Aristophanem inter scriptores ab Oro adhibitos recenset Ritschelius; ad Ai. 746 (Nauck.

*) Mirum est quod C. Keil. in annal. Marb. 1852 fasc. 3 in censura onomatologici Papiani in schol. Dionys. Thrac. 729, 23, ubi παρ' Ἑξιφάνους editur, pro emendatione certissima Πραξιφάνους (cod. Ottob. 147 p. 7 Cram. A. Oxx. IV 311, 5 Classen. de primord. gr. Gr. p. 9 Preller. de Praxiph. p. 9 not. † Elink. Sterk. symb. litt. soc. Batav. 1835 fasc. VII p. 11—13) praeoptat Δεξιφάνους.

